



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

NIET UITLEENEN

Mz. Fleischmann.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

145 E 7
niet plakken
(Boekband nr. 1791 Dir)

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2



AMSTELODAMI

Apud Ioannes { â Waeſberge / â Someren

Anno 1670.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

NIET PLAKKEN 145 E7

ΑΠΠΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΡΩΜΑΙΚΑ.

APPIANI ALEXANDRINI ROMANARUM HISTORIARUM

Pars Altera, continens

BELLORUM CIVILIUM

LIBROS V.

HISTORIÆ CELTICÆ AC ILLYRICÆ FRAGMENTA,

Et EXCERPTA *quædam*

De LEGATIONIBUS.



AMSTELODAMI,
Ex Officinâ JOH. JANSSONII à WAESBERGEN,
Et JOHANNIS à SOMEREN.

ANNO M. DC. LXX.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

KONINKLIJKE BIBLIOTHEEK

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

ἈΠΠΙΑΝΟΥ ἈΛΕΞΑΝΔΡΕΩΣ ῬΩΜΑΙΚΩΝ ἘΜΦΥΛΙΩΝ. Α.

Ῥ'ΩΜΑΙΟΙΣ ὁ δῆμος καὶ ἡ βουλὴ πολλάκις ἐς ἀλλήλους περί τε νόμων θέσεως, καὶ χρεῶν ἀποκοπῆς, ἢ γῆς διαδατουμένης, ἢ ἐν ἀρχαιρεσίαις ἐστασίασαν· οὐ μὴν τι χειρῶν ἔργον ἔμφυλον ἦν, ἀλλὰ διαφοραὶ μόναι, καὶ ἔριδες ἔννομοι, καὶ τάδε μετὰ πολλῆς αἰδοῦς εἴκοντες ἀλλήλοις διετίθεντο. ὁ δὲ δῆμος ποτὲ καὶ συνερχόμενος, ἐς τοιάνδε ἔριν ἐμπεσών, οὐκ ἐχρήσατο τοῖς ὅπλοις παροῦσιν, ἀλλ' ἐς τὸ ὄρος ἐκδραμών, τὸ ἀπὸ τοῦδε κληζόμενον ἱερόν, οὐδὲν οὐδὲ τότε χειρῶν ἔργον, ἀλλ' ἀρχὴν ἑαυτοῦ προστάτιν ἀπέφηνε· καὶ ἐκάλεσε δημαρχίαν, ἐς κώλυσιν μάλιστα τῶν ὑπάτων ἀπὸ τῆς βουλῆς αἱρουμένων, μὴ ἐντελὲς αὐτοῖς ἐπὶ τῇ πολιτείᾳ τὸ κράτος εἶναι. ὅθεν δὴ καὶ μάλιστα δυσμενέστερον ἔτι καὶ φιλονεικότερον ἐς ἀλλήλας αἱ ἀρχαὶ διετίθεντο ἀπὸ τοῦδε καὶ ἡ βουλὴ καὶ ὁ δῆμος ἐς αὐτὰς ἐμερίζετο, ὡς ἐν ταῖς τῶνδε πλεονεξίαις ἑκάτεροι τῶν ἑτέρων ἐπικρατοῦντες. Μάρ-

APPIANI ALEXANDRINI ROMANARUM HISTORIARUM DE BELLIS CIVILIBUS LIBER PRIMUS. 349

SÆPENUMERO plebi Romanæ cum ſuo ſenatu de legibus ferendis, de novis tabulis, deque agrorum diviſione aut magiſtratibus creandis incidit contentio: ſemper tamen manibus temperatum eſt, & diſceptatum civiliter, mutua quadam ordinum reverentia. Quin & armata per occaſionem externi belli plebs, nunquam tamen ad ſeditionem armis abuſa eſt: contenta in montem, ſacrum ob id dictum, ſecedere: ne tum quidem ſolito ſævior, creato tantùm ad ſui tutelam novo magiſtratu, qui tribunuſplebis vocatus eſt, cohibiturus conſulum potentiam, quorum tunc penes ſenatum erat electio: ne illi ſoli præeſſent reipublicæ. Inde nata ſunt inter hos magiſtratus odia certamináque: alteris ſenatus, alteris plebis favore ſubnixis: & quicquid alteri partium accederet, altera exiſtimante ſibi decedere, per

Tribuni plebis cur ſint creati.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

Marcius Coriolanus exul, patriæ bellum infert.

cas contentiones & Marcius Coriolanus immeritò damnatus in Volſcos exulatum abiit, móxque patriæ bellum intulit: quæ ſola omnium priſcarum ſeditionum uſque arma proceſſit, idque ductu unius profugi. Ceterùm in comitium nunquam telum importatum eſt, nunquam civilis cædes edita antequam Tiberius Gracchus novas leges ferre conatus, omnium primus concitata ſeditione periit, cum eóque nonnulli ad Capitolium refugientes circa ipſam ædem ſacram cæſi ſunt. Nec ceſſatum eſt poſt tale piaculum à ſeditionibus, propalam interdum diſſidente populo, vagantibúſque ſi-

Tiberii Gracchi leges novæ, ſeditio & interitus.

350 cariis, & modò hoc, aliquanto pòſt illo, honorato viro, in templo aliquo, in comitio, in foro denique, cadente, ídque juſſu tribunorum, prætorum, conſulum, ceterarúmve id genus poteſtatum ſublimium: paulatímque cum injuriis mutuis creſcebat juris & legum contemptus. Tandem prorumpente in immenſum malo, conjurationes in rempub. manifeſtariæ, & expeditiones validæ exortæ ſunt, nunc exulibus damnatíſve res novas molientibus, nunc optimatibus de adminiſtratione rerum inter ſe contendentibus, tam domi quàm militiæ. Nec deerant præpotentes cives ac factioſi, aſpirantéſque ad dominationem, partim retinentes exercitus à populo ſuæ fidei creditos, partim abſque conſenſu publico in perniciem adverſariorum undecunque armantes novas copias: ſed adverſariorum tollendorum prætextu, patriæ bellum

κιός τε ὁ Κοριολανὸς ἐν τοῖσδε τοῖς ἔρισιν ἐξελαθεὶς παρὰ δίκην, ἐς Οὐολούσκους ἔφυγέ τε καὶ πόλεμον ἐπήγαγε τῇ πατρίδι· καὶ τοῦτο μόνον ἄν τις εὕροι τῶν πάλαι στάσεων ἔργον ἔνοπλον, καὶ τοῦθ᾽ ὑπ᾽ αὐτομόλου γενόμενον· ξίφος δὲ οὐδέν πω παρενεχθὲν ἐς ἐκκλησίαν, οὐδὲ φόνον ἔμφυλον· πρίν γε Τιβέριος Γράκχος δημαρχῶν, καὶ νόμους ἐσφέρων, πρῶτος ἐν στάσει ἀπώλετο, καὶ ἐπ᾽ αὐτῷ πολλοὶ κατὰ τὸ Καπιτώλιον εἰλούμενοι, περὶ τὸν νεὼν ἀνῃρέθησαν. καὶ οὐκ ἀνέσχον ἔτι αἱ στάσεις ἐπὶ τῷδε τῷ μύσει, διαιρουμένων ἑκάστοτε σαφῶς ἐπ᾽ ἀλλήλοις, καὶ ἐγχειρίδια πολλάκις φερόντων, κτιννυμένης τε τινὸς ἀρχῆς ἐκ διαστήματος ἐν ἱεροῖς, ἢ ἐκκλησίαις, ἢ ἀγοραῖς, δημάρχων, ἢ στρατηγῶν, ἢ ὑπάτων, ἢ τῶν ἐς ταῦτα παραγγελλόντων, ἢ τῶν ἄλλως ἐπιφανῶν· ὕβρις τε ἄκοσμος ἐπεῖχεν αἰεὶ δι᾽ ὀλίγου, καὶ νόμων καὶ δίκης αἰσχρὰ καταφρόνησις. προϊόντος δ᾽ ἐς μέγα τοῦ κακοῦ, ἐπαναστάσεις ἐπὶ τὴν πολιτείαν φανεραὶ, καὶ στρατεῖαι μεγάλαι καὶ βίαιοι κατὰ τῆς πατρίδος ἐγίγνοντο, φυγάδων ἀνδρῶν ἢ καταδίκων, ἢ ἐπὶ ἀρχῆς τινὸς ἢ στρατοπέδου φιλονεικούντων ἐς ἀλλήλους· δυναστεῖαί τε ἦσαν ἤδη κατὰ πολλὰ, καὶ στασίαρχοι μοναρχικοί· οἱ μὲν, οὐ μεθιέντες ἔτι τὰ πιστευθέντα σφίσιν ὑπὸ τοῦ δήμου στρατόπεδα· οἱ δὲ, καὶ κατὰ σφᾶς ἄνευ τοῦ κοινοῦ κατ᾽ ἀλλήλων ξενολογοῦντες· ὁπότεροι δ᾽ αὐτῶν τὴν πόλιν προ-

λάβοιεν,

λάβοιεν, τοῖς ἑτέροις ἦν ὁ ἀγών· λόγῳ μὲν ἐπὶ τοὺς ἀντιστασιώτας, ἔργῳ δ' ἐπὶ τὴν πατρίδα· ἐσέβαλλον γὰρ ἐς πολεμίαν, καὶ σφαγαὶ τῶν ἐν ποσὶν ἐγίγνοντο νηλεεῖς, καὶ ἄλλων ἐπὶ θανάτῳ προγραφαὶ καὶ φυγαὶ καὶ δημεύσεις· ἐνίων δὲ καὶ βάσανοι πάμπαν ἐπαχθεῖς, ἔργον τε οὐδὲν ἀηδὲς ἀπῆν· μέχρι τῶνδε τῶν στασιάρχων εἷς, ἔτει πεντηκοστῷ μάλιστα ἀπὸ Γράκχου, Κορνήλιος Σύλλας, κακῷ τὸ κακὸν ἰώμενος, μόναρχον αὑτὸν ἀπέφηνεν ἐπὶ πλεῖστον· οὓς δικτάτωρας ἐκάλουν τε, καὶ ἐπὶ ταῖς φοβερωτάταις χρείαις ἑξαμήνους τιθέμενοι ἐκ πολλοῦ διελελοίπεσαν. ὁ δὲ Σύλλας, βίᾳ μὲν καὶ ἀνάγκῃ, λόγῳ δ' αἱρετὸς ἐς ἀεὶ δικτάτωρ γενόμενος, ὅμως ἐπεί τε ἐκορέσθη τῆς δυναστείας, πρῶτος ἀνδρῶν ὅδε μοι δοκεῖ θαρρῆσαι τυραννικὴν ἀρχὴν ἔχων ἀποθέσθαι, καὶ ἐπειπεῖν ὅτι καὶ τοῖς μεμφομένοις εὐθύνας ὑφέξει· ἰδιώτης τε, ὁρώντων ἁπάντων, καὶ πολὺ βαδίσαι κατ' ἀγοράν, καὶ ἐπανελθεῖν ἀπαθὴς οἴκαδε· τοσοῦτον ἦν ἄρα τοῖς ἐσορῶσιν ἔτι τῆς ἀρχῆς αὐτοῦ δέος, ἢ τῆς ἀποθέσεως κατάπληξις, ἢ τῶν εὐθυνῶν τῆς ἐπαγγελίας αἰδώς, ἢ ἄλλη φιλανθρωπία, καὶ λογισμός, ἐπὶ συμφέροντι τὴν τυραννίδα γενέσθαι· ὧδε μὲν ἐπὶ βραχὺ ἔληξαν αἱ στάσεις ἐπὶ Σύλλᾳ· καὶ κακῶν ἀντίδοσις ἦν ὧν ὁ Σύλλας εἰργάζετο.

Μετὰ δὲ Σύλλαν αὖθις ἀνερριπίζετο, μέχρι Γάϊος Καῖσαρ αἱρετὴν ἀρχὴν ἐπὶ πολὺ δυναστεύων ἐν

inferebatur, utriſque certatim urbem occupare properantibus. hoſtiliter enim in ſe invicem vim faciebant, fœdéque cædes patrabantur: rurſum alii proſcribebantur, ſolum vertebant, bonis exuebantur: nonnulli excruciabantur tormentis graviſſimis. Nec ad ſummam crudelitatem quicquam deerat, donec factioſorum unus, anno poſt Gracchi cædem fermè quinquageſimo, malum malo pellens, ſuo ſolius arbitratu aliquandiu rexit rempublicam. Semeſtris erat is magiſtratus, dictatoris titulo, difficillimis temporibus adhiberi ſolitus, & jam dudum in uſu eſſe deſierat: hunc Sylla quum per vim occupaſſet, quamvis perpetuus dictator creatus videri vellet, nihilominus, ſatur potentiæ, ſponte depoſuit, primus, quod ſciam, auſus privata vita mutare tyrannidem. Addidit facto dictum æquè memorabile, paratum ſe quibuſvis rationem reddere: ac mox in conſpectu populi, habitu privati civis, in foro obambulavit, & inde domum ſe contulit, offendente nemine. tanta ſupererat in omnibus acti ſummi magiſtratus reverentia: ſive quòd depoſitum mirarentur, ſive quòd puderet exigere rationem ab offerente ultro: ſive quòd inhumanum videretur odiſſe potentiam, etſi tyrannicam, conjunctam tamen cum utilitate publica. Atque ita pauliſper ceſſatum eſt à ſeditionibus, Syllâ malis præſentibus afferente remedium. 351

Sylla dictaturam deponit.

Quæ ſemel ſopitæ rurſum excitabantur, donec C. Cæſar imperio per aliquot annos in Gallia continuato, tandem jubente ſenatu

Cæſar imperium non vult deponere.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

natu ut faſces deponeret, cauſatus non ſenatum id velle, ſed Pompeium, qui tunc Italici exercitus imperator, & infenſus ipſi, conabatur eum redigere in ordinem: propoſuit conditiones ut aut ambo retinerent exercitus, quo uterque tutus eſſet ab altero: aut Pompeius quoque decedens imperio privatus viveret ſub legibus. Neutro autem impetrato,

Pompeius à Cæſare victus.

è Gallia duxit contra Pompeium & patriam: ingreſſúſque urbem, & illum profugum inde aſſecutus, in Theſſalia egregiè vicit prælio memorabili, & Ægyptum

Pompeium Ægyptii interficiunt.

uſque perſecutus eſt. Interempto demum Pompeio ab Ægyptiis, Romam reverſus, ordinatis prius rebus Ægypti, & confirmatis ejus regibus, ſecurus jam, ſublato tanto adverſario, cui ob magnitudinem rerum geſtarum Magno cognomen fuerat: nemine

Cæſar dictator perpetuus creatur.

audente contradicere, ſecundus poſt Syllam dictator perpetuus creatus eſt. Tum quoque ſeditiones omnes interquieverunt, donec Brutus & Caſſius, vel invidentes ei dignitatis amplitudinem, vel priſtinæ reipub. formæ

Cæſar vir imperandi peritiſſimus: à Caſſio & Bruto cæſus.

cupidi, in ipſa curia confecerunt virum gratioſiſſimum apud populum, & imperandi peritiſſimum. In cujus publico deſiderio & percuſſores ejus quæſiti ſunt ad pœnam, & corpus in medio foro ſepultum, extructo templo ubi crematus eſt, in quo tanquam deo ſacra faciunt. At civiles diſcordiæ redintegratæ continuò in tantum auctæ ſunt, ut cædes, exilia, proſcriptiones plu-

Γαλατίᾳ, τῆς βουλῆς αὐτὴν ἀποθέσθαι κελευούσης, αἰτιώμενος οὐ τὴν βουλὴν, ἀλλὰ Πομπήϊον ἐχθρὸν ὄντα οἱ, καὶ στρατοῦ περὶ τὴν Ἰταλίαν ἡγούμενον, τῆς ἀρχῆς αὐτὸν ἐπιβουλεύοντα παραλύειν, προὐτίθει προκλήσεις, ἢ ἄμφω τὰ στρατεύματα ἔχειν, ἐς τῆς ἔχθρας τὴν ἀφοβίαν, ἢ καὶ Πομπήϊον ἃς ἔχοι μεθέντα ἰδιωτεύειν ὁμοίως ὑπονόμιον. οὐ πείθων δὲ ἐς οὐδέτερα, ἐκ Γαλατίας ἤλαυνεν ἐπὶ τὸν Πομπήϊον ἐς τὴν πατρίδα· ἐσβαλών τε ἐς αὐτὴν, καὶ διώκων ἐκφυγόντα, περὶ Θεσσαλίαν ἐνίκησε μεγάλῃ μάχῃ λαμπρῶς, καὶ ἐδίωκεν ἐς Αἴγυπτον ὑποφεύγοντα. ἀναιρεθέντος δὲ Πομπηΐου πρὸς ἀνδρῶν Αἰγυπτίων, ἐπανῆλθεν ἐς Ῥώμην· καὶ περὶ Αἴγυπτον ἐργασάμενός τε καὶ ἐπιμείνας, μέχρι κατεστήσατο αὐτῇ τοὺς βασιλέας, στασιώτην τε μέγιστον, ᾧ διὰ μεγαλουργίαν πολεμικὴν Μέγας ἐπώνυμον ἦν, οὗτος δὴ μάλιστα πολέμου κράτει σαφῶς καθελών· οὐδενὸς αὐτῷ θαρροῦντος εἰς οὐδὲν ἔτι ἀντειπεῖν, δεύτερος ἐπὶ Σύλλᾳ δικτάτωρ ἐς τὸ διηνεκὲς ᾑρέθη· καὶ στάσεις αὖθις κατεπαύοντο πᾶσαι. ἔστε καὶ τόνδε Βροῦτος καὶ Κάσσιος, ζήλῳ τε τῆς ἀρχῆς τοῦ μεγέθους, καὶ πόθῳ τῆς πατρίου πολιτείας, ἐν τῷ βουλευτηρίῳ κατέκανον, δημοτικώτατον καὶ ἐμπειρότατον ἀρχῆς γενόμενον· ὅγε τοι δῆμος αὐτὸν μάλιστα πάντων ἐπόθησε· καὶ τοὺς σφαγέας ἐζήτουν περιϊόντες, καὶ τὸ σῶμα ἔθαψαν ἐν ἀγορᾷ μέσῃ, καὶ νεὼν ἐπῳκοδόμησαν τῇ πυρᾷ, καὶ θύουσιν ὡς θεῷ. αἱ δὲ αὖθις ἐπανελθοῦσαί τε καὶ αὐξηθεῖσαι δυνατώτατα, ἐς μέγα

περιῆλ-

περιῆλθον, καὶ φόνοι καὶ φυγαὶ καὶ ἐπὶ
θανάτῳ προγραφαὶ βουλευτῶν τε καὶ
τῶν καλουμένων ἱππέων, κατὰ πλῆ-
θος ἀθρόως ἑκατέρων ἐγίγνοντο,
τοὺς ἐχθροὺς ἀλλήλοις τῶν στασιωτῶν
ἀντιπαρεχόντων, καὶ ἐς τοῦτο ἀμε-
λούντων καὶ φίλων καὶ ἀδελφῶν· το-
σοῦτον ἐκράτει τῆς ἐς τὰ οἰκεῖα εὐ-
νοίας ἡ ἐς τὰ ἀντίπαλα φιλονεικία.
προϊόντες τε τὴν Ῥωμαίων ἀρχήν,
ὡς ἰδιωτικὸν (φεῦ) κτῆμα διενεί-
μαντο ἐφ' ἑαυτῶν τρεῖς οἵδε ἄνδρες,
Ἀντώνιός τε καὶ Λέπιδος, καὶ ὅτῳ
πρότερον μὲν Ὀκταούϊος ὄνομα ἦν,
Καίσαρι δὲ πρὸς γένους ὤν, καὶ θε-
τὸς ἐν διαθήκαις ὑπ' αὐτοῦ γενόμε-
νος, Καῖσαρ ἐκ τοῦδε μετωνομά-
ζετο. ἐπὶ δὲ τῇ διαιρέσει τῇδε, μετὰ
βραχὺ συμπεσόντες (ὡς εἰκὸς ἦν)
ἐς ἀλλήλους, ὁ Καῖσαρ αὐτῶν συ-
νέσει τε καὶ ἐμπειρίᾳ περιών, Λέ-
πιδον μὲν πρότερον αὐτόν, ἣν ἐκε-
κλήρωτο Λιβύην, ἐπὶ δὲ τῷ Λεπί-
δῳ καὶ Ἀντώνιον πολέμῳ περὶ Ἄκτιον
ἀφείλετο τὴν ἀπὸ Συρίας ἐπὶ κόλ-
πον τὸν Ἰόνιον ἀρχήν. ἐπί τε τούτοις
μεγίστοις δὴ φανεῖσι, καὶ ἐς ἔκπληξιν
ἅπαντας ἐμβαλοῦσιν, εἷλε καὶ Αἴγυ-
πτον ἐπιπλεύσας, ἣ χρονιωτάτη τε
ἦν ἐς τότε καὶ δυνατωτάτη μετ' Ἀ-
λέξανδρον ἀρχή, καὶ μόνη Ῥωμαίοις
ἔλειπεν ἐς τὰ νῦν ὄντα. ὥστε Σεβα-
στὸς εὐθὺς ἐπὶ τοῖς ἔργοις, ἔτι περι-
ών, ὅδε πρῶτος ὀφθῆναί τε Ῥω-
μαίοις καὶ κληθῆναι πρὸς αὐτῶν·
αὐτός τε ἑαυτὸν ὥσπερ Γάϊος, καὶ ἐς
τὸ δυνατώτερον ἔτι Γαΐου ἄρχοντα
ἀποφῆναι τῇ τε πατρίδι, καὶ τοῖς
ὑπ' αὐτὴν ἔθνεσιν ἅπασιν· οὐδὲν αἱ-
ρέσεως, ἢ χειροτονίας, ἢ προσποιήμα-
τος ἔτι δεηθείς. χρονίου δ' αὐτῷ καὶ
ἐγκρατοῦς τῆς ἀρχῆς γενομένης, ἐπιτυ-

rimorum ſequerentur, tam ſe-
natorii quàm equeſtris ordinis,
factioſis invicem ſibi ad necem
tradentibus inimicos, ita ut in
alterius gratiam nec amicis par-
ceretur, nec fratribus: tantò plus
valebat pervicax cum æmulis
contentio, quàm erga ſuos pie-
tas. Tandem Romanum impe-
rium (pro nefas) tanquam pri- 352
vati alicujus civis fundum, inter
ſe partiti ſunt tres hi, Antonius
& Lepidus, & is qui primùm
Octavius, deinde ab avunculo in
nomen & hæreditatem adopta-
tus, Cæſar dictus eſt. Poſt eam
diviſionem quum rurſum, ut
meriti erant, inter ſe conflicta-
rentur, Cæſar ceteris prudentior
ac peritior, exuto prius Africa,
quam ſortitus fuerat, Lepido,
Antonium quoque, apud A-
ctium, victum, provinciis quæ
à Syrio ſinum Adriaticum uſ-
que patent, expulit. eóque ſuc-
ceſſu perculſis omnibus, Ægy-
ptum quoque claſſibus occupa-
vit. Quod imperium omnibus,
quotquot Alexandri ſucceſſores
tenuerant, diuturnius opulen-
tiúſque, ſolum reliquum erat
ad augendum ſtatum in quo rem
Romanam videmus hodie. Quo
facto vivus vidénſque conſecra-
tus, & AVG. à populo Roma-
no appellatus, majorem etiam
quàm Cajus pater poteſtatem ſi-
bi uſurpavit in patriàm gentéſ-
que omnes ſubditas, ne in ſpe-
ciem quidem expectatis populi
ſuffragiis. Confirmata demum
longo tempore potentia, fortu-
natus

Romanum imperium in tres diviſum.

Lepidus Africa exutus. Antonius apud Actium victus.

natus per omnia reverendúſque ſtirpem ſucceſſorum parem tanto imperio poſt ſe reliquit. & ſic tandem pro ſeditionibus concordia ſubiit, ad unum reverſo rerum arbitrio. Hoc argumentum erit præſentis operis, complexum mirandos caſus hominum per omnes calamitates ad cupitos honores ambitioſè graſſantium: quod eo libentius tractabo, quòd hæc conjuncta rebus Ægyptiis, memoraſſe prius neceſſe habeam. Sic enim Ægyptus ſubacta eſt, per harum contentionum occaſionem, dum Cleopatra fovet partes Antonii. Et quò in tanta rerum multitudine diſtinctior ſit narratio, hic ſubjungemus quicquid interceſſit inter Sempronii Gracchi & Cornelii Syllæ tempora: mox quæ ſecuta ſunt uſque C. Cæſaris obitum. Ceteri libri de bello civili,
353 continent triumvirorum inter ſe & cum populo Romano certamina uſque ad poſtremum illud ac omnium maximum facinus, videlicet conflictum Cæſaris & Antonii Cleopatræque ad Actium. unde rerum Ægyptiacarum ſumemus exordium.

Deducendarum coloniarum mos apud Romanos.

Mos erat Romanis, nunc hos nunc illos Italiæ populos ſubjugando, parte agri mulctare, in eúmque colonias deducere: aut in jam antè condita oppida novos colonos ſui generis aſcribere. Hæc coloniæ tanquam præſidia partis bello provinciis imponebantur: in quibus quantum erat culti agri colonis dividebatur, aut vendebatur elocabatúrve: quod

χὴς ἐς πάντα καὶ φοβερὸς ὤν, γενόμενος ἀφ' ἑαυτοῦ καὶ διαδοχὴν τὴν ἐπικρατοῦσαν ὁμοίως ἐπ' ἐκείνῳ κατέλιπεν. ὧδε μὲν ἐκ στάσεων ποικίλων ἡ πολιτεία Ῥωμαίοις ἐς ὁμόνοιαν καὶ μοναρχίαν περιέστη. ταῦτα δ' ὅπως ἐγένετο συνέγραψα, καὶ συνήγαγον, ἀξιοθαύμαστα ὄντα τοῖς ἐθέλουσιν ἰδεῖν φιλοτιμίαν ἀνδρῶν ἄμετρον, καὶ φιλαρχίαν δεινήν, καρτερίαν τε ἄτρυτον, καὶ κακῶν ἰδέας μυρίων· μάλιστα δ' ὅτι μοι τῆς Αἰγυπτίας συγγραφῆς τάδε προηγούμενα, καὶ τελευτήσοντα εἰς ἐκείνην, ἀναγκαῖον ἦν προαναγράψασθαι· ὧδε γὰρ Αἴγυπτος ἐλήφθη διὰ τήνδε τὴν στάσιν, Ἀντωνίῳ Κλεοπάτρας συμμαχούσης. διῄρηται δ' αὐτῶν διὰ τὸ πλῆθος, ἔνθαδε μὲν ὅσα ἐπὶ Κορνήλιον Σύλλαν ἀπὸ Σεμπρωνίου Γράκχου· ἑξῆς δ' ὅσα μέχρι Γαΐου Καίσαρος τῆς τελευτῆς. αἱ δὲ λοιπαὶ τῶν ἐμφυλίων βίβλοι δεικνύουσιν ὅσα οἱ τρεῖς ἐς ἀλλήλους τε καὶ Ῥωμαίους ἔδρασαν· μέχρι τὸ τελευταῖον δὴ τῶν στάσεων καὶ μέγιστον ἔργον, τὸ περὶ Ἄκτιον Καίσαρι πρὸς Ἀντώνιον ὁμοῦ καὶ Κλεοπάτραν γενόμενον, ἀρχὴ καὶ τῆς Αἰγυπτιακῆς συγγραφῆς ἔσται.

Ῥωμαῖοι τὴν Ἰταλίαν πολέμῳ κατὰ μέρη χειρούμενοι, γῆς μέρος ἐλάμβανον, καὶ πόλεις ἐνῴκιζον, ἢ ἐς τὰς πρότερον οὔσας κληρούχους ἀπὸ σφῶν κατέλεγον. καὶ τάδε μὲν ἀντὶ φρουρίων ἐπενόουν, τῆς δὲ γῆς τῆς δορυκτήτου σφίσιν ἑκάστοτε γιγνομένης, τὴν μὲν ἐξειργασμένην αὐτίκα τοῖς οἰκιζομένοις ἐπιδιῄρουν, ἢ ἐ-

πίπρασκον,

πίπρασκον, ἢ ἐξεμίσθουν· τὴν δὲ ἀργὸν ἐκ τοῦ πολέμου τότε οὖσαν, ἣ δὴ καὶ μάλιστα ἐπλήθυεν, οὐκ ἀγαγόντες πω σχολὴν διαλαχεῖν, ἐπεκήρυττον ἐν τοσῷδε τοῖς ἐθέλουσιν ἐκπονεῖν, ἐπὶ τέλει τῶν ἐτησίων καρπῶν, δεκάτῃ μὲν τῶν σπειρομένων, πέμπτῃ δὲ τῶν φυτευομένων· ὥριστο δὲ καὶ τοῖς προβατεύουσι τέλη μειζόνων τε καὶ ἐλαττόνων ζώων. καὶ τάδε ἔπραττον ἐς πολυανδρίαν τοῦ Ἰταλικοῦ γένους, φερεπονωτάτου σφίσιν ὀφθέντος, ἵνα συμμάχους οἰκείους ἔχοιεν. ἐς δὲ τοὐναντίον αὐτοῖς περιῄει· οἱ γὰρ πλούσιοι, τῆσδε τῆς ἀνεμήτου γῆς τὴν πολλὴν καταλαβόντες, καὶ χρόνῳ θαρροῦντες οὔτινα σφᾶς ἔτι ἀφαιρεθήσεσθαι, τά τε ἀγχοῦ σφίσιν ὅσα τε ἦν ἄλλα βραχέα πενήτων, τὰ μὲν ὠνούμενοι πειθοῖ, τὰ δὲ βίᾳ λαμβάνοντες, πεδία μακρὰ ἀντὶ χωρίων ἐγεώργουν, ὠνητοῖς ἐς αὐτὰ γεωργοῖς καὶ ποιμέσι χρώμενοι, τοῦ μὴ τοὺς ἐλευθέρους ἐς τὰς στρατιὰς ἀπὸ τῆς γεωργίας περισπᾶν· φερούσης ἅμα καὶ τῆσδε τῆς κτήσεως κέρδος αὐτοῖς, ἐκ πολυπαιδίας θεραπόντων ἀκινδύνως αὐξομένων διὰ τὰς ἀστρατίας. ἀπὸ δὲ τούτων οἱ μὲν δυνατοὶ πάμπαν ἐπλούτουν, καὶ τὸ τῶν θεραπόντων γένος ἀνὰ τὴν χώραν ἐπλήθυε· τοὺς δ᾽ Ἰταλιώτας ὀλιγότης καὶ δυσανδρία κατελάμβανε, τρυχομένους πενίᾳ τε καὶ ἐσφοραῖς καὶ στρατείαις. εἰ δὲ καὶ σχολάσειαν ἀπὸ τούτων, ἐπ᾽ ἀργίας διετίθεντο, τῆς γῆς ὑπὸ τῶν πλουσίων ἐχομένης, καὶ γεωργοῖς χρωμένων θεράπουσιν ἀντὶ ἐλευθέρων. ἐφ᾽ οἷς ὁ δῆμος ἐδυσφό-

operæ in tanta ſervorum copia.

verò incultum ſupererat, ut ferè bellum ſequi ſolet vaſtitas, quia ſub ſortem mittere non vacabat, per præconem invitatis aſſignabant quibuſcunque liberet colere, excepta ſibi tributi nomine in ſingulos annos ex arbuſtis proventus parte quinta, frugum verò decima: quin & gregibus vectigal indictum erat, tàm minoris quàm majoris pecoris. Ita proſpiciebatur frequentiæ generis Italici, quod laboris patientiſſimum eſt habitum, ne carerent auxiliis domeſticis. Sed res in contrarium quàm putarant cecidit: nam divites agro inculto majore ex parte occupato, tandem præſcriptione diuturni temporis in poſſeſſione confirmati, & vicinorum pauperum portiones modò vi adjungentes, modò pretio, non jam rura colebant ſed latifundia, coëmptis cultoribus & paſtoribus, ne ab armis avocarentur ingenui: interim luculentos reditus percipiendo, creſcente etiam ſervitiorum multitudine, quòd immunis eſſet à militia. quo factum eſt ut potentiores ſupra modum diteſcerent, & agri complerentur ſervitiis. Itali contrà paucitate ſui generis laborabant: ſimúlque gravabantur paupertate, crebris expeditionibus & exactionibus. Quòd ſi quando dabatur harum difficultatum intermiſſio, otio corrumpebantur, quòd nec propriam terram haberent, & in 354
aliena nullus locus eſſet ipſorum

Quamobrem S. P. Q. R. anxius erat

erat, quum neque Italicorum auxiliorum magnus præſtò eſſet numerus, & imperium minus in tuto arbitraretur, propter ſervorum nimiam frequentiam.

Quæſitum eſt deinde huic incommodo remedium, quum nec facile nec æquum videretur tot viros dejici de tam diuturna poſſeſſione tot prædiorum quæ ipſi conſeviſſent, inſtruxiſſéntque. Vix tandem tribunis plebis rogantibus lex lata eſt, ne quis haberet plus quingentis jugeribus, névé quis paſceret plus centum capitibus majoris, pluſve quingentis minoris pecoris: prætérque aſſignatus eſt certus ingenuorum numerus, qui præeſſent operi ruſtico & frugum cuſtodiæ. Ea lex jurejurando ſacrata eſt, mulctáque decreta in eos qui contrà feciſſent: quaſi mox quicquid agrorum ultra præſcriptum modum ſupereſſet, æquo pretio diſtribuendum eſſet in pauperes. Sed neque jusjurandum neque lex valuit: & ſi qui videbantur his permoti, in ſpeciem modò agros ſuis propinquis cedebant, alii propalam legem contemnebant: donec Tib. Sempronius Gracchus, vir nobilis & honorum appetens, ſimúlque eloquens, & his de cauſis jam notus omnibus, tribunatum adeptus graviter diſſeruit de Italici nominis hominibus: quòd gens bellicoſa & cognata populo Romano paulatim ad paucitatem ac egeſtatem redigeretur, & nulla reliqua ſpe ad interitum tenderet, invectúſque in ſervorum multitudinem ut inutilem mili-

Tribunorum lex agraria.

Sempronius Gracchus trib. pleb.

ρει μὲν, ὡς οὔτε συμμάχων ἐξ Ἰταλίας ἔτι εὐπορήσων, οὔτε τῆς ἡγεμονίας οἱ γενησομένης ἀκινδύνου, διὰ πλῆθος τοσῶνδε θεραπόντων.

Διόρθωσιν δ᾽ οὐκ ἐπινοοῦντες, ὡς οὐδὲ ῥᾴδιον ὂν, οὐδὲ πάντῃ δίκαιον, ἄνδρας τοσούσδε ἐκ τοσοῦδε χρόνου κτῆσιν τοσήνδε ἀφελέσθαι φυτῶν τε ἰδίων καὶ οἰκοδομημάτων καὶ κατασκευῆς· μόλις ποτὲ τῶν δημάρχων εἰσηγουμένων, ἔκριναν μηδένα ἔχειν τῆς γῆς πλέθρα πεντακοσίων πλείονα, μηδὲ προβατεύειν, ἑκατὸν πλείω τὰ μείζονα, καὶ πεντακοσίων τὰ ἐλάσσονα. καὶ ἐς ταῦτα δ᾽ αὐτοῖς ἀριθμὸν ἐλευθέρων ἔχειν ἐπέταξαν, οἳ τὰ γιγνόμενα φυλάξειν τε καὶ μηνύσειν ἔμελλον. οἱ μὲν δὴ τάδε νόμῳ περιλαβόντες, ἐπώμοσαν ἐπὶ τῷ νόμῳ, καὶ ζημίαν ὥρισαν, ἡγούμενοι τὴν λοιπὴν γῆν αὐτίκα γὰρ πένησι κατ᾽ ὀλίγον διαπεπράσεσθαι· φροντὶς δ᾽ οὐδεμία ἦν οὔτε τῶν νόμων οὔτε τῶν ὅρκων· ἀλλ᾽ οἵτινες καὶ ἐδόκουν φροντίσαι, τὴν γῆν ἐς τοὺς οἰκείους ἐπὶ ὑποκρίσει διένεμον, οἱ δὲ πολλοὶ τέλεον κατεφρόνουν· μέχρι Τιβέριος Σεμπρώνιος Γράκχος, ἀνὴρ ἐπιφανὴς καὶ λαμπρὸς ἐς φιλοτιμίαν, εἰπεῖν τε δυνατώτατος, καὶ ἐκ τῶνδε ὁμοῦ πάντων γνωριμώτατος ἅπασι, δημαρχῶν, ἐσεμνολόγησε περὶ τοῦ Ἰταλικοῦ γένους, ὡς εὐπολεμωτάτου τε καὶ συγγενοῦς, φθειρομένου δὴ κατ᾽ ὀλίγον ἐς ἀπορίαν καὶ ὀλιγανδρίαν, καὶ οὐδὲ ἐλπίδα ἔχοντος ἐς διόρθωσιν. ἐπὶ δὲ τῷ δουλικῷ δυσχεράνας, ὡς ἀστρατεύτῳ, καὶ οὔποτε ἐς δεσπότας πιστῷ,

τὸ ἔνα-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

τὸ ἔναγχος ἐπενήνεγκεν ἐν Σικε-
λίᾳ δεσποτῶν πάθος ὑπὸ θερα-
πόντων γενόμενον, ηὐξημένων κἀ-
κείνων ἀπὸ γεωργίας· καὶ τὸν ἐπ'
αὐτοὺς Ῥωμαίων πόλεμον, οὐ ῥᾴ-
διον οὐδὲ βραχὺν, ἀλλ' ἔς τε μῆ-
κος χρόνου, καὶ τροπὰς κινδύ-
νων ποικίλας ἐκτραπέντα. ταῦτα δ'
εἰπὼν, ἀνεκαίνιζε τὸν νόμον, μηδέ-
να τῶν πεντακοσίων πλέθρων πλέον
ἔχειν. παισὶ δ' αὐτῶν, ὑπὲρ τὸν
παλαιὸν νόμον προσετίθει τὰ ἡμί-
σεα τούτων· καὶ τὴν λοιπὴν, τρεῖς αἱ-
ρετοὺς ἄνδρας, ἐναλλασσομένους κατ'
ἔτος, διανέμειν τοῖς πένησι. τοῦτο δ'
ἦν ὃ μάλιστα ἠνώχλει τοὺς πλουσίους,
οὐ δυναμένους ἔτι, ὡς πρότερον, τοῦ νό-
μου καταφρονεῖν διὰ τοὺς διαιροῦντας,
οὐδὲ ὠνεῖσθαι παρὰ τῶν κληρουμένων. ὁ
γάρ τοι Γράκχος καὶ τόδε προειδόμε-
νος, ἀπηγόρευε μὴ πωλεῖν. συνι-
στάμενοι δὴ κατὰ μέρος, ὠλοφύροντο,
καὶ προὔφερον τοῖς πένησιν ἀρχαῖά τε
ἔργα ἑαυτῶν, καὶ φυτὰ, καὶ οἰκοδομίας·
καὶ τιμὴν ἐνίοις δεδομένην γείτοσιν, εἰ
καὶ τήνδε μετὰ τῆς γῆς ἀπολέσουσι· τάφους
τε ἔνιοι πατέρων ἐν τῇ γῇ, καὶ διαιρέ-
σεις ἐπὶ τοῖς κλήροις ὡς πατρῴοις· οἱ
δὲ, καὶ προῖκας γυναικῶν ἐς ταῦτα
ἀνηλωμένας, ἢ τὴν γῆν παισὶν ἐμ-
προίκιον δεδομένην. δανεισταί τε χρέα
καὶ ταύτης ἐπεδείκνυον· καὶ ἄκοσμος
ἦν ὅλως οἰμωγὴ καὶ ἀγανάκτησις.
οἱ δ' αὖ πένητες ἀντωδύροντο, ἐξ
εὐπορίας εἰς πενίαν ἐσχάτην, καὶ
ἀπ' αὐτῆς ἐς ἀγωνίαν, οὐ δυ-
νάμενοι παιδοτροφεῖν, περιφέρε-
σθαι. στρατείας τε ὅσας στρατεύ-
σαιντο τὴν γῆν τήνδε περιποιούμε-
νοι, κατέλεγον, καὶ ἠγανάκτουν εἰ

tiæ, nec unquam fidam domi-
nis, recens tum exemplum me-
moravit Siciliæ afflictæ per man- Sicilia afflicta per mancipiorum motus contra heros.
cipiorum motum contra heros
proprios: quæ per occaſionem
agriculturæ plus ſatis aucta nu-
mero, Rom. tandem armis per
ancipites certaminum ſucceſſus
ægrè ſint cohibita. Qua oratione
impetravit ut denuo ferretur lex
agraria: ne quis poſſideret plus
quingentis jugeribus. Additum
veteri legi, licere filiis familiâs
habere modi hujus dimidium:
quicquid agri ſuperfuerit, opor- 355
tere pauperibus dividi per trium- Triumviri.
viros, qui mutarentur in an-
nos ſingulos. Id divites ægerrimè
paſſi ſunt, quòd legem contem-
nere non poſſent metu trium-
virûm, nec liceret amplius alie-
nas portiones coëmere: nam &
hanc fraudem Gracchus inter-
dicto præcaverat: paſsímque fie-
bant cœtus conquerentium: &
opprobrabant pauperibus vete- Divitum & pauperum querelæ & exprobrationes mutuæ.
rem ſuam tam arvorum quàm
vinetorum culturam, ædificiáque
villatica: iniquum eſſe non agris
ſolùm, ſed annumerato etiam
vicinis pretio ſe mulctari, & in-
ſuper ſepulcris majorum ſitis in
ſolo hæreditario: alii dotes uxo-
rum inſumptas eò requirebant,
aut dotalia rura ſuis aſſignata li-
beris: proferebatur & æs alienum
contractum hujuſmodi agrorum
nomine, ídque non ſine fœno-
re: ad ſummam omnia miſce-
bantur querelis ac indignationi-
bus. E diverſo pauperum querelæ
audiebantur, ex copia redactos ſe ad extremam inopiam, atque

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

adeo deſperationem, quando ne liberos quidem detur alere. enumerabant quot expeditionibus horum agrorum cauſa præſto fuiſſent reipubl. indignabantúrque ſi non portionem quiſque ſuam ferret ex publico. objiciebant inſuper illis quòd in ſuis agris faſtidirent ipſorum operam, malléntque uti mancipiis, genere hominum ſemper infido ſibi & infenſo, ac proinde ad militiam inutili. Inter has mutuas exprobrationes quereláſque ad colonias quoque ac municipia ceteróſque quocunque jure agrorum poſſeſſores, mali hujus pervenit contagium, metu jacturæ, ut & ibi vulgus in partes ſe ſcinderet, ita ut quæque ſuæ factionis freta numero in adverſam exaſperaretur, & res ad ſeditionem ſpectaret, omnibus in executionem legis intentis, alteris haud quaquam animatis ut ratam eſſe paterentur, alteris nihil non auſuris pro ea. Sic neutris cedere ſuo jure paratis, expectabatur dies deſtinata perferendæ legis comitiis. Ceterùm Gracchò erat conſilium ut non divitiis virorum, ſed frequentiæ provideretur: quòd arbitraretur alterum hoc magis eſſe è republ. & quoniam inde totius Italiæ fortuna pendere videbatur quanquam in

356 Sempronius Gracchus in comitiis fortiter diſputat pro lege agraria.

re ardua parum erat ſollicitus. Ubi verò ventum eſt ad comitia, multum diúque in rem præſentem præfatus, rogabat æquúmne cenſerent, quæ publica ſint populo dividi, & utrum civis ſervo ſit potior, utrum miles pagano utilior, utrum reip. amantior alienus an particeps. Nec diu collationi huic immora-

τῶν κοινῶν ἀποστερήσονται· ὠνείδιζόν τε ἅμα αὐτοῖς, αἱρουμένοις ἀντὶ ἐλευθέρων καὶ πολιτῶν καὶ στρατιωτῶν, θεράποντας, ἄπιστον ἔθνος καὶ δυσμενὲς αἰεὶ, καὶ διὰ τοῦτο ἀστράτευτον. τοιαῦθ᾽ ἑκατέρων ὀδυρομένων τε καὶ ἀλλήλοις ἐπικαλούντων, πλῆθος ἄλλο ὅσον ἐν ταῖς ἀποίκοις πόλεσιν, ἢ ταῖς ἰσοπολίτισιν, ἢ ἄλλως ἐκοινώνει τῆσδε τῆς γῆς, δεδιότες ὁμοίως ἐπήεσαν, καὶ ἐς ἑκατέρους αὐτῶν διεμερίζοντο· πλήθει τε θαῤῥοῦντες, ἐξετραχύνοντο, καὶ στάσεις ἐξάπτοντες ἀμέτρους, τὴν δοκιμασίαν τοῦ νόμου περιεμένον, οἱ μὲν, ὡς οὐδενὶ τρόπῳ συγχωρήσοντες αὐτὸν γενέσθαι κύριον, οἱ δ᾽, ὡς κυρώσοντες ἐξ ἅπαντος· φιλονεικία δὲ ἑκατέροις προσέπιπτεν ἐπὶ τῇ χρείᾳ, καὶ ἐς τὴν κυρίαν ἡμέραν παρασκευὴ κατ᾽ ἀλλήλων. Γράκχῳ δ᾽ ὁ νοῦς τοῦ βουλεύματος ἦν οὐκ ἐς εὐπορίαν ἀλλ᾽ ἐς εὐανδρίαν τοῦδε ἔργου τῇ ὠφελείᾳ μάλιστα αἰωρούμενος, καὶ ὡς οὔτι μεῖζον οὐδὲ λαμπρότερον δυναμένης ποτὲ παθεῖν τῆς Ἰταλίας, τοῦ περὶ αὐτὸ δυσχεροῦς οὐδὲ ἐνεθυμεῖτο. ἐνστάσης δὲ τῆς χειροτονίας, πολλὰ μὲν ἄλλα προεῖπεν ἐπαγωγὰ καὶ μακρά· διηρώτα δ᾽ ἐπ᾽ ἐκείνοις, εἰ δίκαιον τὰ κοινὰ κοινῇ διανέμεσθαι, καὶ εἰ γνησιώτερος αἰεὶ θεράποντος ὁ πολίτης, καὶ χρησιμώτερος ὁ στρατιώτης ἀπολέμου, καὶ τοῖς δημοσίοις εὐνούστερος ὁ κοινωνός. οὐκ ἐς πολὺ δὲ τὴν σύγκρισιν, ὡς ἄδοξον, ἐ-

πενεγκὼν,

πενεγκών, αὖθις ἐπῄει τὰς τῆς πατρίδος ἐλπίδας καὶ φόβους διεξιών, ὅτι πλείστης γῆς ἐκ πολέμου βίᾳ κατέχοντες, καὶ τὴν λοιπὴν τῆς οἰκουμένης χώραν ἐν ἐλπίδι ἔχοντες, κινδυνεύουσιν ἐν τῷδε περὶ ἁπάντων, ἢ κτήσασθαι καὶ τὰ λοιπὰ δι' εὐανδρίαν, ἢ καὶ τάδε δι' ἀσθένειαν καὶ φθόνον ὑπ' ἐχθρῶν ἀφαιρεθῆναι, ὧν τοῦ μὲν τὴν δόξαν καὶ εὐπορίαν. τοῦ δὲ τὸν κίνδυνον καὶ φόβον ὑπερεπαίρων, ἐκέλευε τοὺς πλουσίους ἐνθυμουμένους ταῦτα, ἐπιδόσιμον, εἰ δέοι, παρὰ σφῶν αὐτῶν τήνδε τὴν γῆν εἰς τὰς μελλούσας ἐλπίδας τοῖς παιδοτροφοῦσι χαρίσασθαι· καὶ μή, ἐν ᾧ περὶ μικρῶν διαφέρονται, τῶν πλειόνων ὑπεριδεῖν· μισθὸν ἅμα τῆς πεπονημένης ἐργασίας αὐτάρκη φερομένους, τὴν ἐξαίρετον ἄνευ τιμῆς κτῆσιν ἐς αἰεὶ βέβαιον ἑκάστῳ πεντακοσίων πλέθρων, καὶ παισίν, οἷς εἰσὶ παῖδες, ἑκάστῳ καὶ τούτων τὰ ἡμίσεα. τοιαῦτα πολλὰ ὁ Γράκχος εἰπών, τοὺς πένητας καὶ ὅσοι ἄλλοι λογισμῷ μᾶλλον ἢ πόθῳ κτήσεως ἐχρῶντο, ἐρεθίσας, ἐκέλευε τῷ γραμματεῖ τὸν νόμον ἀναγνῶναι.

Μάρκος δ' Ὀκταούϊος δήμαρχος ἕτερος ὑπὸ τῶν κτηματικῶν διακωλύειν παρεσκευασμένος, καὶ ὢν παρὰ Ῥωμαίοις ἀεὶ ὁ κωλύειν δυνατώτερος, ἐκέλευε τὸν γραμματέα σιγᾶν. καὶ τότε μὲν αὐτῷ πολλὰ μεμψάμενος ὁ Γράκχος, ἐς τὴν ἐπιοῦσαν ἀγορὰν ἀνέθετο. φυλακήν τε παραστησάμενος ἱκανήν, ὡς καὶ ἄκοντα βιασόμενος Ὀκταούϊον, ἐκέλευε σὺν ἀπειλῇ τῷ γραμματεῖ τὸν νόμον ἐς τὸ πλῆ-

tus ut abſurdæ, vertit orationem ad expendendum ſpes civitatis metúſque: bello quæſiſſe eos agri plurimum: ſpem eſſe occupandi cetera quoque quàm latè habitantur ab externis nationibus: nunc rem in ſummo diſcrimine eſſe, paraturíne ſint reliqua per virorum fortium frequentiam, an amiſſuri etiam ſua per infirmitatem virium & inimicorum invidiam. Deinde hinc gloriam & amplas fortunas, inde periculum & metum exaggerando, hortabatur divites, conſiderarent ipſi num ſatius eſſet ſpe futurorum commodorum eos ultro poſſeſſione agrorum cedere pauperibus, alendorum liberorum onere gravatis, quàm de rebus exiguis contendendo, potiora negligere. non pœnitendum pretium anteactæ operæ eſſe eximia quingena jugera gratuita certæque poſſeſſionis, & quibus ſint liberi, dimidium ejus in ſingulos. In hanc ſententiam prolixè locutus, ſuſpenſis animis pauperum, & quotquot alii ratione magis quàm cupiditate ducebantur, juſſit ſcribam legem recitare.

Ibi M. Octavius ejus collega, ad intercedendum à locupletibus ſubornatus, pro poteſtate indixit ſcribæ ſilentium. Gracchus multùm de eo conqueſtus, comitia in ſequentem diem diſtulit, paratóque interim præſidio, tanquam invitum etiam in ſuam ſententiam traducturus Octavium, minis adegit ſcribam ut legem pro concione recitaret:

M. Octavius Sempronii Gr. collega, repugnat legi agrariæ.

contrà Octavius recitantem co-
hibuit. tum exorto inter collegas
jurgio, quum lex præ tumultu
perferri nequiret, proceres ege-
runt precibus, ut tribuni eam
controverſiam arbitrio ſenatus
357 committerent. Qua occaſione
arrepta Gracchus, ſperans nulli
ſano legem non placituram, ac-
currit in curiam. quo loco, ſecus
quàm apud vulgum, petitus con-
vitiis à divitibus, recurrit in fo-
rum, pollicens in craſtinum ſe
collecturum ſuffragia de agraria
lege, déque poteſtate collegæ
adimenda, qui obſtaret populi
commodis. & ita fecit. quum e-
nim Octavius nil territus inter-
cederet, ille de ipſo prius dedit
plebi calculos. quúmque prima
tribus contra Octavium tuliſſet,
verſus ad eum Gracchus orabat
ut ab incepto deſiſteret. quo per-
ſiſtente in propoſito, ceterarum
colligebat ſuffragia. erant tunc
tribus XXXV. harum decem &
ſeptem irritatis animis jam con-
ſpirarant: quibus ſi acceſſiſſet de-
cimaoctava, ratam legem effe-
ciſſet. Rurſum igitur Gracchus
coram populo collegam periculo
proximum obſecrat ne rem piam
& Italis univerſis utiliſſimam in-
terturbare pergat, néve obſiſtat
tanto plebis ſtudio, cui pro offi-
cio tribuni favere deberet, deni-
que ne amittere magiſtratum ſu-
ſtineat. His dictis deos teſtaba-
tur, ſe invitum contra collegæ
honorem agere, quem quum nil
flecteret, ad ſuffragia reverſus

θος ἀναγινώσκειν· καὶ ἀνεγίνωσκε· καὶ Ὀκταουΐου κωλύοντος ἐσιώπα. λοιδορίων δὲ τοῖς δημάρχοις εἰς ἀλλήλους γιγνομένων, καὶ τοῦ νόμου θορυβοῦντος ἱκανῶς, οἱ δυνατοὶ τοὺς δημάρχους ἠξίουν ἐπιτρέψαι τῇ βουλῇ περὶ ὧν διαφέρονται. καὶ ὁ Γράκχος, ἁρπάσας τὸ λεχθὲν, ὡς δὴ πᾶσι τοῖς εὖ φρονοῦσιν ἀρέσκοντος τοῦ νόμου, διέτρεχεν ἐς τὸ βουλευτήριον. ἐκεῖ δ᾽, ὡς ἐν ὀλίγοις, ὑβριζόμενος ὑπὸ τῶν πλουσίων, αὖθις ἐκδραμὼν εἰς τὴν ἀγορὰν, ἔφη διαψήφισιν προθήσειν ἐς τὴν ἐπιοῦσαν ἀγορὰν περί τε τοῦ νόμου καὶ τῆς ἀρχῆς τῆς Ὀκταουΐου, εἰ χρὴ δήμαρχον ἀντιπράττοντα τῷ δήμῳ τὴν ἀρχὴν ἐπέχειν. καὶ ἔπραξεν οὕτως· ἐπεί τε γὰρ Ὀκταούϊος οὐδὲν καταπλαγεὶς, αὖθις ἐνίστατο, ὁ δὲ προτέραν τὴν περὶ αὐτοῦ ψῆφον ἀνεδίδου· καὶ τῆς πρώτης φυλῆς καταψηφισαμένης τὴν ἀρχὴν τοῦ Ὀκταουΐου ἀποθέσθαι, ἐπιστραφεὶς πρὸς αὐτὸν ὁ Γράκχος, ἐδεῖτο μεταθέσθαι· οὐ πειθόμενος δὲ, τὰς ἄλλας ψήφους ἐπῆγε. οὐσῶν δὲ τότε φυλῶν πέντε καὶ τριάκοντα, καὶ συνδραμουσῶν ἐς τὸ αὐτὸ σὺν ὀργῇ τῶν προτέρων ἑπτακαίδεκα, ἡ μὲν ὀκτωκαιδεκάτη τὸ κῦρος ἔμελλεν ἐπιθήσειν· ὁ δὲ Γράκχος αὖθις ἐν ὄψει τοῦ δήμου τότε μάλιστα κινδυνεύοντι τῷ Ὀκταουΐῳ λιπαρῶς ἐνέκειτο, μὴ ἔργον ὁσιώτατον καὶ χρησιμώτατον Ἰταλίᾳ πάσῃ συγχέαι, μηδὲ σπουδὴν τοῦ δήμου τοσήνδε ἀνατρέψαι, ᾧ τι καὶ παρενδοῦναι προθυμουμένῳ δήμαρχον ὄντα ἥρμοζε, καὶ μὴ ἑαυτοῦ τὴν ἀρχὴν ἀφαιρουμένην περιϊδεῖν ἐπὶ καταγνώσει. καὶ τοιάδε λέγων, καὶ θεοὺς μαρτυρόμενος, ἄκων ἄνδρα σύναρχον ἀτιμοῦν ὡς οὐκ ἔπειθεν, ἐπῆγε τὴν ψῆφον.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

ψῆφον. καὶ ὁ μὲν Ὀκταούϊος, αὐτίκα ἰδιώτης γενόμενος, διαλαθὼν ἀπεδίδρασκε.

Κοΐντος δὲ Μούμμιος ἀντ᾽ αὐτοῦ δήμαρχος ᾑρεῖτο, καὶ ὁ νόμος ὁ περὶ τῆς γῆς ἐκυροῦτο. διανέμειν τε αὐτὴν ἐκεχειροτόνηντο τρεῖς, Γράκχος αὐτὸς ὁ νομοθέτης, καὶ ἀδελφὸς ὁμώνυμος ἐκείνου, καὶ ὁ ἐκήδευε τῷ νομοθέτῃ Κλαύδιος Ἄππιος· πάνυ τοῦ δήμου καὶ ὡς δεδιότος μὴ τὸ ἔργον ἐκλειφθείη τοῦ νόμου, εἰ μὴ Γράκχος αὐτοῦ σὺν ὅλῃ τῇ οἰκίᾳ κατάρχοιτο. Γράκχος δὲ, μεγαλαυχούμενος ἐπὶ τῷ νόμῳ, καὶ ὑπὸ τοῦ πλήθους, οἷα δὴ κτίστης οὐ μιᾶς πόλεως, οὐδὲ ἑνὸς γένους, ἀλλὰ πάντων ὅσα ἐν Ἰταλίᾳ ἔθνη, ἐς τὴν οἰκίαν παρεπέμπετο. καὶ μετὰ τοῦθ᾽, οἱ μὲν κεκρατηκότες, ἐς τοὺς ἀγροὺς ἀπεχώρουν, ὅθεν ἐπὶ ταῦτα ἐληλύθεισαν· οἱ δ᾽ ἡσσημένοι, δυσφοροῦντες ἔτι, παρέμενον, καὶ ἐλογοποίουν οὐχ αἱρήσειν Γράκχον αὐτίκα ὅτε γένοιτο ἰδιώτης, ἀρχήν τε ἱδρύσαντα ἱερὰν καὶ ἄσυλον, καὶ στάσεως τοσήνδε ἀφορμὴν ἐς τὴν Ἰταλίαν ἐμβαλόντα.

Θέρος δ᾽ ἦν ἤδη, καὶ παραγραφαὶ δημάρχων ἐς τὸ μέλλον· καὶ οἱ πλούσιοι, τῆς χειροτονίας πλησιαζούσης, ἔνδηλοι σαφῶς ἦσαν ἐσπουδακότες ἐς τὴν ἀρχὴν τοῖς μάλιστα Γράκχῳ πολεμίοις. ὁ δ᾽, ἐγγὺς τοῦ κακοῦ γιγνομένου, δείσας εἰ μὴ καὶ ἐς τὸ μέλλον ἔσοιτο δήμαρχος, συνεκάλει τοὺς ἐκ τῶν ἀγρῶν ἐπὶ τὴν χειροτονίαν· ἀσχολουμένων δ᾽ ἐκείνων ὡς ἐν θέρει, συνελαυνόμενος ὑπὸ τῆς προθεσμίας ὀλίγης ἐς τὴν χειροτονίαν ἔτι οὔσης, ἐπὶ τὸν ἐν τῷ ἄστει δῆμον κατέφυγε, καὶ περιϊὼν κατὰ μέρος ἕκαστον, ἐδεῖτο δή-

eſt. Ita Octavius abrogato ſibi magiſtratu, continuò proripuit ſe clàm è medio.

Subrogatus Memmius, & lex agraria perlata eſt, triumvirique agris dividendis creati, Gracchus ipſe, Cajus frater ejus, & ſocer Appius Claudius: ſic quoque plebe metuente ne lex careret executione, niſi lator ejus cum omnibus ſuis adniteretur. Ille verò ea lege ſibi vehementer placens, à plebe veluti conditor non unius oppidi gentíſve, ſed omnium Italiæ nationum, domum deductus eſt. Poſt hæc victrix pars in agros ſeceſſit, propter quos ad eam contentionem ventum fuerat: altera verò victam ſe ægre paſſa, permanſit in Urbe, verbis jactans non impune id fore Graccho quamprimum magiſtratu abierit, auſo & poteſtatem ſacroſanctam violare, & ſeditionem tantam movere in tota Italia.

Triumviri agris dividendis creati.

358

Jam æſtas erat, & comitia tribunis plebis creandis inſtabant: apparebátque divites daturos operam ut is magiſtratus ad inimicos Gracchi perveniat. at is propinquo periculo territus, ne forte futuris comitiis ſui ratio non haberetur, revocabat ex agris plebem ad ſuffragia. illis verò occupatis, ut fit per æſtatem, opere ruſtico, quum dies præfinitus jam immineret, coactus eſt ad urbanam plebem confugere: & ambiens prehenſánſque ſingulos, poſtulabat ſibi continuari tribunatum, referríque gratiam

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

pro periculis quibus ſe objeciſſet propter eos. Quum autem plebs ferret ſuffragia, mox duarum tribuum primarum Gracchus tulit calculos. reclamantibus verò divitibus, non licere per leges eundem magiſtratum continuari, & Rubrio trib. pleb. qui tunc ſortitò comitiis præerat, ambigente ſuper hoc negotio, Mummius, Octavii ſucceſſor, perſuaſit collegæ, ut ſe vicarium pro ipſo præeſſe ſineret. at reliqui tribuni ſorti id committendum cenſebant: cedente enim ſortem ſuam Rubrio, novam ſortitionem ad totum tribunorum collegium pertinere. qua contentione gliſcente, Gracchus, quum ſua factio ſuperaretur, in ſequentem diem comitia diſtulit: deſperatíſque rebus ſuis priuſquam magiſtratu abiret, reliquum diei verſabatur in foro, atratus, cum filio, commendans eum ſingulis, quaſi mox periturus inimicorum violentia. ſed quum tenuem plebeculam ſubiret miſeratio viri, ſimúlque reputatio, non amplius vivendum ſibi æquo jure cum ceteris civibus, ferendam eſſe impotentem dominationem divitum, timentes tam ſibi quàm illi propter ipſos periclitanti, deducunt eum domum veſpere, jubéntque bono animo
359 eſſe in craſtinum. ille verò audacia reſumpta, & ante lucem factione ſua in unum contracta, ſignóque, ſi pugna opus eſſet, conſtituto, Capitolium ac co-

Rubrius trib. pleb.

δήμαρχον αὐτὸν ἐς τὸ μέλλον ἐλέσθαι, κινδυνεύοντα δι' ἐκείνους. γιγνομένης δὲ τῆς χειροτονίας, δύο μὲν ἔφθασαν αἱ πρῶται φυλαὶ Γράκχον ἀποφῆναι· τῶν δὲ πλουσίων ἐνισταμένων, οὐκ ἔννομον εἶναι δὶς ἐφεξῆς τὸν αὐτὸν ἄρχειν, καὶ Ῥουβρίου δημάρχου, ὃν προεστάναι τῆς ἐκκλησίας ἐκείνης διειληχότος, ἐνδοιάζοντος ἐπὶ τῷδε, Μούμμιος αὐτὸν ὁ ἐπὶ τῷ Ὀκταουΐῳ δημαρχεῖν ᾑρημένος, ἐκέλευεν ἑαυτῷ τὴν ἐκκλησίαν ἐπιτρέψαι. καὶ ὁ μὲν ἐπέτρεψεν· οἱ δὲ λοιποὶ δήμαρχοι περὶ τῆς ἐπιστασίας ἠξίουν ἀνακληρῶσαι. Ῥουβρίου γὰρ τοῦ λαχόντος, ἐκστάντος αὖθις ἐς ἅπαντας τὴν διακλήρωσιν περιϊέναι. ἔριδος δὲ καὶ ἐπὶ τῷδε πολλῆς γιγνομένης, ὁ Γράκχος ἐλαττούμενος, τὴν μὲν χειροτονίαν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἀνετίθετο· πάντα δ' ἀπογνοὺς, ἐμελανειμόνει τε ἔτι ὢν ἔναρχος, καὶ τὸ λοιπὸν τῆς ἡμέρας ἐν ἀγορᾷ τὸν υἱὸν ἐπάγων, ἑκάστοις συνίστη καὶ παρετίθετο, ὡς αὐτὸς ὑπὸ τῶν ἐχθρῶν αὐτίκα ἀπολούμενος. οἴκτου δὲ πολλοῦ συλλογισμῷ τοὺς πένητας ἐπιλαμβάνοντος ὑπέρ τε σφῶν αὐτῶν, ὡς οὐκ ἐν ἴσῳ νόμῳ πολιτευσόντων ἔτι, ἀλλὰ δουλευσόντων κατὰ κράτος τοῖς πλουσίοις, καὶ ὑπὲρ αὐτοῦ Γράκχου, τοιαῦτα δεδιότος τε καὶ πάσχοντος ὑπὲρ αὐτῶν, σύν τε οἰμωγῇ προπεμπόντων αὐτὸν ἁπάντων ἐπὶ τὴν οἰκίαν ἑσπέρας, καὶ θαρρεῖν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἐπικελευόντων· ἀναθαρρήσας ὁ Γράκχος, ἔτι νυκτὸς τοὺς στασιώτας συναγαγὼν, καὶ σημεῖον εἰ καὶ μάχης δεήσειεν ἀποδείξας, κατέλαβε τοῦ Καπιτωλίου τὸν νεὼν ἔνθα χειροτονήσειν ἔμελλον,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

ἔμελλον, καὶ τὰ μέσα τῆς ἐκκλησίας. ἐνοχλούμενος δ' ὑπὸ τῶν δημάρχων, καὶ τῶν πλουσίων οὐκ ἐώντων ἀναδοθῆναι περὶ αὐτοῦ χειροτονίαν, ἀνέσχε τὸ σημεῖον. καὶ βοῆς ἄφνω παρὰ τῶν συνειδότων γενομένης, χεῖρές τε ἦσαν ἤδη τὸ ἀπὸ τοῦδε. καὶ τῶν Γρακχείων οἱ μὲν αὐτὸν ἐφύλαττον, οἷα τινὲς δορυφόροι, οἱ δὲ, τὰ ἱμάτια περιζωσάμενοι, ῥάβδους καὶ ξύλα τὰ ἐν χερσὶ τῶν ὑπηρετῶν ἁρπάσαντές τε καὶ διακλάσαντες ἐς πολλὰ, τοὺς πλουσίους ἐξήλαυνον ἀπὸ τῆς ἐκκλησίας σὺν τοσῷδε ταράχῳ καὶ τραύμασιν, ὡς τούς τε δημάρχους δείσαντας διαφυγεῖν ἐκ μέσου, καὶ τῶν νεὼν τοὺς ἱερέας ἐπικλεῖσαι· δρόμον τε πολλῶν ἄκοσμον εἶναι, καὶ φυγὴν καὶ λόγον οὐκ ἀκριβῆ, τῶν μὲν, ὅτι καὶ τοὺς ἄλλους δημάρχους ὁ Γράκχος παραλύσειε τῆς ἀρχῆς· (οὐ γὰρ ὁρωμένων αὐτῶν, εἴκαζον οὕτω) τῶν δ', ὅτι αὐτὸς ἑαυτὸν ἐς τὸ μέλλον δήμαρχον ἄνευ χειροτονίας ἀποφαίνει. γιγνομένων δὲ τούτων ἡ βουλὴ συνῆλθεν εἰς τὸ τῆς Πίστεως ἱερόν. καί μοι θαῦμα καταφαίνεται, τὸ, πολλάκις ἐν τοιοῖσδε φόβοις διὰ τῆς αὐτοκράτορος ἀρχῆς διασεσωσμένους, τότε μηδ' ἐπὶ νοῦν τὸν δικτάτωρα λαβεῖν· ἀλλὰ χρησιμώτατα τὸ προτέροις τόδε τὸ ἔργον εὑρεθὲν, μηδ' ἐν μνήμῃ τοῖς πολλοῖς ἄρα γενέσθαι, μήτε τότε μήτε ὕστερον. κρίναντες δ' ὅσα ἔκριναν, ἐς τὸ Καπιτώλιον ἀνῄεσαν· καὶ πρῶτος αὐτοῖς ὁ μέγιστος ἀρχιερεὺς λεγόμενος ἐξῆρχε τῆς ὁδοῦ, Κορνήλιος Σκιπίων ὁ Νασικᾶς· ἐβόα τε μέγιστον ἕπεσθαί οἱ τοὺς ἐθέλοντας σώζεσθαι τὴν πατρίδα· καὶ τὸ κράσπεδον τοῦ ἱματίου ἐς τὴν κεφαλὴν περιεσύρατο, εἴτε τῷ παρασήμῳ τοῦ σχήματος πλέονας οἱ συντρέχειν ἐπι-

mitium occupat: divites adjunctis ſibi aliquot tribunis impediunt quominus de illo ferantur ſuffragia. tum Gracchus ſignum ſuis dat ex compoſito, quibus mox magno clamore coortis, ad manus ventum eſt, aliis ipſum pro ſatellitio ſtipantibus, aliis accincta veſte faſces lictorum direptos, confringentibus, & non ſine vulneribus divites exturbantibus è comitio, ita ut & tribuni metu perciti diffugerent, & ſacerdotes templum clauderent: trepidóque fugientium diſcurſu omnia miſcente, incertis rumoribus ab aliis ſpargeretur Gracchum ſtatuiſſe reliquis quoque collegis magiſtratum abrogare. quod eo credibilius erat, quia eorum nemo verſaretur in publico: ab aliis verò, illum, non expectatis populi ſuffragiis, tribunatum ſibi uſurpaturum. Interea ſenatus in ædem Fidei cogitur. Equidem miror, nec tunc, nec poſtea cuiquam patrum in mentem veniſſe, toties in hujuſmodi metu expertum ſalubre dictaturæ remedium, ſed S. C. utcunque facto tendebant in Capitolium, ductu Corn. Scipionis Naſicæ pontificis max. qui proclamavit, Sequerentur ſe quicunque vellent ſalvam rempublicam: móxque laciniam togæ rejecit in humerum & caput, ſive multitudinem ad ſe hoc ſigno contrahens, ſive pugnæ ceu teſſeram proferens, ſi-

Tumultus Romæ in ſuffragiis.

Cornelius Scipio Naſica pontifex maximus.

ve reverentia deorum ſua cœpta velut obtegens. ubi verò in Capitolium evaſit, cedentibus Gracchanis tanto viro, ſenatum ſecum trahenti, Naſicæ comitatus extortis è manibus adverſariorum fuſtibus, arreptíſque ſubſelliorum fragmentis, &c, ſi quid aliud vice teli ſe offerebat, globatim irruentes feriebant eos, propellendo in prærupta crepidinis. quo in tumultu Gracchus

360 etiam cum ſuorum multis circa

Gracchi interitus. fores templi oberrantibus cæſus eſt, ante regum ſtatuas: & omnium cadavera noctu projecta

Gracchi genus. ſunt in Tiberim. Hic finis fuit Gracchi, patre bis conſule geniti, ex Cornelia, Scipionis illius Africani filia, dum patriæ bene quidem ſed violentius conſulit, in ipſo tribunatu in Capitolio necati. tantum piaculum in comitiis patratum eſt, quo non aliud in hoc genere fœdius. At populus variè cædem eam tulit, his lætis, illis mœrentibus. multi enim non minus ſuammet quàm illius vicem dolebant, & ſtatum præſentem non tam rempublicam exiſtimabant, quàm adverſæ partis victricis inſolentiam. alii rem factam ſe habere putabant, & voto potiri fruebantur. hæc contentio in id bellum incidit quo

Ariſtonicus. Ariſtonicus cum populo Romano certavit de Aſiæ imperio.

Fulvius Flaccus & Papirius Carbo cum minore Graccho. Poſt Gracchi necem, Appio Claudio quoque vita functo, Fulvius Flaccus & Papirius Carbo, cum minore Graccho, legis a-

σπώμενος, εἴτε πολέμου τι σύμβολον τοῖς ὁρῶσιν ὡς κάλυθα ποιούμενος, εἴτε θεοὺς ἐγκαλυπτόμενος ὧν ἔμελλε δράσειν. ἀνελθὼν δὲ εἰς τὸ ἱερὸν, καὶ τοῖς Γρακχείοις ἐπιδραμὼν, εἶξάν τε ὡς κατ' ἀξίωσιν ἀνδρὶ ἀρίστῳ, καὶ τὴν βουλὴν ἅμα οἱ θεωροῦντες ἐπιοῦσαν· οἱ δὲ τὰ ξύλα τῶν Γρακχείων αὐτῶν περισπάσαντες, ὅσα τε βάθρα καὶ ἄλλη παρασκευὴ ὡς ἐκκλησίαν συνενήνεκτο, διελόντες, ἔπαιον αὐτοὺς καὶ ἐδίωκον, καὶ ἐς τὰ ἀποκρημνα κατερρίπτουν. κἀν τῷδε τῷ κυδοιμῷ πολλοί τε τῶν Γρακχείων καὶ Γράκχος αὐτὸς εἰλούμενος περὶ τὸ ἱερὸν, ἀνῃρέθη παρὰ ταῖς θύραις, παρὰ τοὺς τῶν βασιλέων ἀνδριάντας, καὶ πάντας αὐτοὺς νυκτὸς ἔρριψαν εἰς τὸ ῥεῦμα τοῦ ποταμοῦ. οὕτω μὲν δὴ Γράκχος, ὁ Γράκχου τοῦ δὶς ὑπατεύσαντος, καὶ Κορνηλίας, τῆς Σκιπίωνος τοῦ Καρχηδονίους τὴν ἡγεμονίαν ἀφελομένου, παῖς, ἀρίστου βουλεύματος εἵνεκα, βιαίως αὐτῷ προσιὼν, ἀνῄρητο ἔτι δημαρχῶν ἐν τῷ Καπιτωλίῳ. καὶ πρῶτον ἐν ἐκκλησίᾳ τόδε μύσος γενόμενον, οὐ διέλιπεν ἄν τινος ὁμοίου γιγνομένου παρὰ μέρος. ἡ δὲ πόλις ἐπὶ τῷ Γράκχου φόνῳ διῄρητο ἐς λύπην καὶ ἡδονήν· οἱ μὲν, οἰκτείροντες αὐτούς τε κἀκεῖνον, καὶ τὰ παρόντα, ὡς οὐκέτι πολιτείαν ἀλλὰ χειροκρατίαν καὶ βίαν· οἱ δ' ἐξειργάσθαι σφίσιν ἡγούμενοι πᾶν ὅσον ἐβούλοντο. καὶ τάδε μὲν ἦν ὅτε Ἀρσόνικος Ῥωμαίοις περὶ τῆς ἀρχῆς ἐπολέμει τῆς ἐν Ἀσίᾳ.

Ἀναιρεθέντος δὲ Γράκχου, καὶ τελευτήσαντος Ἀππίου Κλαυδίου, ἀντικαθίσταντο μὲν ἐς τὸ τὴν γῆν ἅμα τῷ νεωτέρῳ Γράκχῳ διανέμειν Φούλβιος

βιος Φλάκκος καὶ Παπίριος Κάρβων. ἀμελούντων δὲ τῶν κεκτημένων αὐτὴν ἀπογράφεσθαι, κατηγόρους ἐκήρυττον ἐνδεικνύναι· καὶ ταχὺ πλῆθος ἦν δικῶν χαλεπῶν. ὅση γὰρ ἄλλη πλησιάζουσα τῇδε ἐπέπρατο, ἢ τοῖς συμμάχοις ἐπιδιήρητο, διὰ τὸ τῆσδε μέτρον ἐξητάζετο ἅπασα, ὅπως τε ἐπέπρατο καὶ ὅπως ἐπιδιήρητο· οὔτε τὰ συμβόλαια, οὔτε τὰς κληρουχίας ἔτι ἐχόντων ἁπάντων· ἃ δὲ καὶ εὑρίσκετο, ἀμφίλογα ἦν. ἀναμετρουμένης τε αὐτῆς, οἱ μὲν ἐκ πεφυτευμένης καὶ ἐπαύλεων, ἐς ψιλὴν μετετίθεντο· οἱ δ᾽ ἐξ ἐνεργῶν, εἰς ἀργὸν, ἢ λίμνας, ἢ τέλματα, οὔτε τὴν ἀρχὴν ἐπὶ δορικτήτοις ἀκριβῆ πεποιημένοι. καὶ τὸ κήρυγμα τὴν ἀνέμητον ἐξεργάζεσθαι προλέγον, ἐπῆρε πολλοὺς τὰ πλησίον ἐκπονοῦντας τὴν ἑκατέρας ὄψιν συγχέαι, χρόνος τε ἐπελθὼν ἐνεώχμωσε πάντα, καὶ τὸ τῶν πλουσίων ἀδίκημα, καίπερ ὂν μέγα, δυσεπίγνωστον ἦν· καὶ οὐδὲν ἀλλ᾽ ἢ πάντων ἀνάστασις ἐγίγνετο, μεταφερομένων τε καὶ μετοικιζομένων ἐς ἀλλότρια. ταῦτά τε ἤδη, καὶ τὰς ἐπὶ τούτοις τῶν δικαζόντων ἐπείξεις οὐ φέροντες οἱ Ἰταλιῶται Κορνήλιον Σκιπίωνα, ὃς Καρχηδόνα ἐπόρθησεν, ἠξίουν σφῶν ἀδικουμένων προστάτην γενέσθαι. ὁ δ᾽ ἐς τοὺς πολέμους αὐτοῖς κεχρημένος προθυμοτάτοις, ὑπεριδεῖν τε ὤκνησε, καὶ παρελθὼν εἰς τὸ βουλευτήριον, τὸν μὲν Γράκχου νόμον οὐκ ἔψεγε διὰ τὸν δῆμον σαφῶς·

grariæ ſuſceperunt patrocinium. Quúmque veteres poſſeſſores agros recenſeri tergiverſarentur, judices ad accuſandos eos per præconem invitaverunt: ac mox enatæ ſunt difficiles lites plurimæ. quicquid enim conterminorum agrorum aut divenditum fuerat aut diviſum ſociis, totum in controverſiam veniebat diſceptando quo pacto venditum eſſet aut diviſum: quum nec inſtrumenta extarent omnia, & nonnulli excidiſſent è ſuarum portionum poſſeſſionibus. quòd ſi quæ extabant, & ipſa erant juris ambigui. quòd dum agri de integro ad menſuram dividerentur, colonorum alii ex conſitis & ſuis villis inſtructis fundis transferebantur in terram nudam: alii è cultis in incultam aut cœnoſam paluſtrémve: quia jam inde ab initio ager de hoſte captus negligenter diviſus fuerat: & quoniam edictum fuerat ut coleretur id agri quod dividendum erat, dum multi inter colendum evehuntur etiam in contigua, confundebatur locorum facies, ætate quoque multa mutante: ut difficile eſſet divitum injurias, quamvis magnas, deprehendere. atque ita omnia ſurſum deorſum miſcebantur crebris migrationibus. hujuſmodi moleſtias & rerum judicatarum executiones Itali ægrè ferendo, quò finis injuriarum fieret, patronum ſibi Cornelium Scipionem Africanum optaverunt: qui ſtrenua ipſorum opera ſæpe in bello uſus, non recuſavit hoc patrocinium: ingreſſúſque in ſenatum, legem quidem agrariam non improbavit palam, 361

legis agrariæ patrocinium ſuſcipiunt.

Cornelius Scipio Italorum patronus.

ne plebem offenderet, verùm præfatus difficultatem negotii, cenſebat judicia hujuſmodi cauſarum à triumviris, quaſi ſuſpectis, transferenda ad alios: id quod ut æquiſſimum impetratum eſt. Senatus Tuditanum conſulem talium litium judicem eſſe juſſit: qui rem aggreſſus quum perdifficilem animadverteret, prætextu Illyrici belli abiit in provinciam. triumviri verò, nemine ab eis jus petente, in otio degebant, unde ortum eſt populi erga Scipionem odium & indignatio, quòd eum propter quem ſæpe potentes cives offendiſſet, quémque poſthabita legum ratione iterum conſulem creaſſet, arbitraretur ſociis Italici nominis magis quàm ipſi populo conſuluiſſe. hoc intellecto ejus inimici paſſim vociferabantur, decreviſſe illum tollere in totum legem agrariam, non ſine armis atque cædibus: atque ita territabant populum. tandem quum Scipio veſpere in cubiculum ſe recepiſſet, tabellas ſecum ferens, in quibus noctu meditaretur quæ parabat pro concione dicere, repertus eſt mortuus, ſine vulnere. ſive inſidiis Corneliæ Gracchorum matris, veritæ ne abrogaretur lex agraria: adjuvante eam Sempronia quoque filia, quæ Scipioni nupta ob deformitatem ac ſterilitatem nec amabatur nec amabat: ſive, ut nonnulli putant, ſibimet ipſe mortem conſcivit, quòd videret ſe non poſſe præſtare pollicita. nec deſunt qui dicant ſervos in tormentis faſſos,

Tuditanus.

Odium populi in Scipionem.

Cornelii Scipionis interitus.

Sempronia.

τὴν δὲ τούτου δυσχέρειαν ἐπεξιών, ἠξίου τὰς δίκας οὐκ ἐπὶ τῶν διαιρούντων ὡς ὑπόπτων τοῖς δικαζομένοις, ἀλλὰ ἐφ' ἑτέρων λέγεσθαι. ᾧ δὴ καὶ μάλιστα ἔπεισεν εἶναι δοκοῦντι δικαίῳ· καὶ Τουδιτανὸς αὐτοῖς ὑπατεύων, ἐδόθη δικάζειν· ἀλλ' ὅδε μὲν ἁψάμενος τοῦ ἔργου, καὶ τὴν δυσχέρειαν ἰδών, ἐπ' Ἰλλυριοὺς ἐστράτευε, πρόφασιν τόδε ποιούμενος τοῦ μὴ δικάσαι. οἱ δὲ τὴν γῆν διανέμοντες, οὐκ ἀπαντῶντος ἐς αὐτοὺς οὐδενὸς ἐς δίκην, ἐπὶ ἀργίας ἦσαν· καὶ μῖσος ἐντεῦθεν ἤρξατο ἐς τὸν Σκιπίωνα τοῦ δήμου καὶ ἀγανάκτησις, ὅτι αὐτὸν ἀγαπήσαντες ἐπιφθόνως, καὶ πολλὰ τοῖς δυνατοῖς ἐναντιωθέντες ὑπὲρ αὐτοῦ, ὕπατόν τε δὶς ἑλόμενοι παρανόμως, ὑπὲρ τῶν Ἰταλιωτῶν ἀντιπεπραχότα σφίσιν ἑώρων. ταῦτα δ' ὅσοι τοῦ Σκιπίωνος ἦσαν ἐχθροὶ κατιδόντες, ἐβόων ὡς λῦσαι τὸν Γράκχου νόμον ὅλως διεγνωκώς, μέλλοι πολὺν ἐπὶ τῷδε ἐν ὅπλοις φόνον ἐργάσασθαι· ὧν ὁ δῆμος ἀκροώμενος ἐδεδίει· μέχρι ὁ Σκιπίων ἑσπέρας παραθέμενος ἑαυτῷ δέλτον, εἰς ἣν νυκτὸς ἔμελλε γράψειν τὰ λεχθησόμενα ἐν τῷ δήμῳ, νεκρὸς ἄνευ τραύματος εὑρέθη· εἴτε Κορνηλίας αὐτῷ, τῆς Γράκχου μητρὸς, ἐπιθεμένης, ἵνα μὴ ὁ Γράκχου νόμος λυθείη, καὶ συλλαβούσης ἐς τοῦτο Σεμπρωνίας τῆς θυγατρὸς, ἣ τῷ Σκιπίωνι γαμουμένη διὰ δυσμορφίαν καὶ ἀπαιδίαν οὔτε ἐστέργετο, οὔτε ἔστεργεν· εἴθ', ὡς ἔνιοι δοκοῦσιν, ἑκὼν ἀπέθανε, συνιδὼν ὅτι οὐκ ἔσοιτο δυνατὸς κατασχεῖν ὧν ὑπόσχοιτο. εἰσὶ δ' οἱ βασανιζομένους φα-

εἰ θε-

οἱ θεράποντες εἰπεῖν ὅτι αὐτὸν ξένοι διὰ ὀπισθοδόμου νυκτὸς ἐπεισαχθέντες ἀποπνίξαιεν· καὶ οἱ πυθόμενοι, ὀκνήσαιεν ἐξενεγκεῖν διὰ τὸν δῆμον ὀργιζόμενον ἔτι καὶ τῷ θανάτῳ συνηδόμενον. Σκιπίων μὲν δὴ τεθνήκει, καὶ οὐδὲ δημοσίας ταφῆς ἠξιοῦτο, μέγιστα δὴ τὴν ἡγεμονίαν ὠφελήσας. οὕτως ἡ παρ᾽ αὐτίκα ὀργὴ τῆς ποτὲ χάριτος ἐπικρατεῖ. καὶ τόδε ὂν τηλικοῦτον, οἷα πάρεργον ἐπὶ τῇ Γράκχου στάσει συνέπεσε.

Τὴν δὲ διαίρεσιν τῆς γῆς οἱ κεκτημένοι, καὶ ὡς ἐπὶ προφάσεσι ποικίλαις διέφερον ἐπὶ πλεῖστον· καὶ τινὲς εἰσηγοῦντο, τοὺς συμμάχους ἅπαντας, οἳ δὴ περὶ τῆς γῆς μάλιστα ἀντέλεγον, εἰς τὴν Ῥωμαίων πολιτείαν ἀναγράψαι, ὡς μείζονι χάριτι περὶ τῆς γῆς διοισομένους· καὶ ἐδέχοντο ἄσμενοι τοῦθ᾽ οἱ Ἰταλιῶται, προτιθέντες τῶν χωρίων τὴν πολιτείαν. συνέπρασσέ τε αὐτοῖς ἐς τοῦτο μάλιστα πάντων Φούλβιος Φλάκκος, ὑπατεύων ἅμα καὶ τὴν γῆν διανέμων· ἡ βουλὴ δ᾽ ἐχαλέπαινε τοὺς ὑπηκόους σφῶν ἰσοπολίτας εἰ ποιήσονται. καὶ τόδε μὲν τὸ ἐγχείρημα οὕτω διελύθη· καὶ ὁ δῆμος ἐν ἐλπίδι τέως τῆς γῆς γενόμενος ἠθύμει. ὧδε δὲ αὐτοῖς ἔχουσιν, ἀσπάσιος εἰς τῶν τὴν γῆν διαιρούντων δημαρχίαν ἐπιφαίνεται Γάιος Γράκχος, ὁ Γράκχου τοῦ νομοθέτου νεώτερος ἀδελφὸς, ἐς πολὺ μὲν ἡσυχάσας ἐπὶ τῇ τοῦ ἀδελφοῦ συμφορᾷ· πολλῶν δ᾽ αὐτοῦ καταφρονούντων ἐν τῷ βουλευτηρίῳ, παρήγγειλεν ἐς δημαρχίαν. καὶ περιφανέστατα αἱρεθεὶς, εὐθὺς ἐπεβούλευε τῇ βουλῇ, σιτηρέσιον ἔμμηνον ὁρίσας ἑκάστῳ τῶν

noctu per poſticum intromiſſos quoſdam ignotos illum ſuffocaſſe, ſe verò ideo rem prodere veritos, quòd ſcirent infenſum ipſi populum gaudere ejus interitu. Sic mortuus eſt vir imperio Romano utiliſſimus, ne funeratus 362 quidem publicè: tanto plus valuit præſens indignatio quàm gratia præterita. atque hoc fuit agrariarum ſeditionum quoddam quaſi auctarium.

Ceterùm agrorum diviſio à poſſeſſoribus per varias cauſationes in longum differebatur: & quidam cenſebant, ſociis omnibus, qui maximè de agris contendebant, civitatem dandam: quo hac gratia devincti contendere deſinerent. pergratum id fuit Italis, jus civium dari quàm agrum publ. dividi ſibi malentibus. nitebantur autem potiſſimùm favore Fulvii Flacci, qui tum ſimul conſul & triumvir agris dividendis creatus fuerat. Senatus autem ægrè patiebatur ſubditos æquari jure civibus. atque hic conatus talem exitum habuit, plebe mœſta & fruſtratam ſpem ſuam dolente. Sic affectis commodùm ſe obtulit tribunus, Cajus Gracchi majoris frater & in triumviratu olim collega, qui aliquantiſper poſt fratris necem quieverat: quúmque inter patres autoritatem ſuam parum tueretur, candidatum tribunatus ſe profeſſus, adeptúſque illuſtri plebis ſtudio eum magiſtratum, confeſtim cœpit dolos ſenatui nectere, lege lata de frumento

Cajus Gracchus trib. pl.

Caji Gracchi lex.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

mento menſtruo plebi viritim dividendo ex publico, quod nunquam antè factum eſt. atque ita uno inſtituto plebe ſibi celeriter devincta, Fulvio Flacco etiam adjutante, in ſequentem quoque annum trib. refectus eſt. jam enim lex lata fuerat: Si tribunus opus habeat ad præſtanda pollicita, ejus potiſſimùm rationem habendam proximis comitiis. Itaque continuato ſibi magiſtratu, & conciliatis ſupradicta mercede plebeis, ut gratificaretur & equitibus, qui ſecundus poſt ampliſſimum ordo eſt, judicia ob infames corruptelas, ad eos à ſenatoriis judicibus transferre conatus eſt, opprobrando illis exempla recentiſſima quæque, Aurelium Cottam, Salinatorem, Manium Aquilium, qui Aſiam devicerat, repetundarum reos, elapſos corruptis judicibus. atteſtabantur & provinciarum legati etiam tum in Urbe morantes indignabundi cum magna judicum invidia. ea res pudorem incuſſit ſenatui, quominus obſiſteret plebiſcito de transferendis judiciis: atque ita ad equites devenerunt. lege hac perlata ferunt Gracchi vocem exceptam, actum jam de ſenatus potentia. eam minimè vanam fuiſſe, apparuit procedente tempore. Quum enim penes alium ordinem eſſet juriſdictio de rebus urbanis ac Italicis, déque ipſis ſenatoribus, ſive pecuniaria mulcta eſſet, ſive exilium aut ignominia, imperium videbatur jam equitum, ſenatores

Lex.

363

Tranſlata judicia à ſenatoribus ad equites à C. Graccho.

δημοτῶν ἀπὸ τῶν κοινῶν χρημάτων, οὐ πρότερον εἰωθὸς διαδίδοσθαι. καὶ ὁ μὲν ὀξέως οὕτως ἑνὶ πολιτεύματι τὸν δῆμον ὑπηγάγετο, συμπράξαντος αὐτῷ Φουλβίου Φλάκκου· καὶ εὐθὺς ἐπὶ τῷδε καὶ ἐς τὸ μέλλον ᾕρετο δημαρχεῖν· καὶ γάρ τις ἤδη νόμος κεκύρωτο, εἰ δήμαρχος ἐνδέοι ταῖς παραγγελίαις, τὸν δῆμον ἐκ πάντων ἐπιλέγεσθαι. ὁ μὲν δὴ Γάϊος Γράκχος οὕτως ἐδημάρχει τὸ δεύτερον, οἷα δ' ἔχων τὸν δῆμον ἔμμισθον, ὑπήγετο καὶ τοὺς καλουμένους ἱππέας, οἳ τὴν ἀξίαν εἰσὶ τῆς βουλῆς καὶ τῶν βουλευτῶν ἐν μέσῳ δι' ἑτέρου τοιοῦδε πολιτεύματος, τὰ δικαστήρια ἀδοξοῦντα ἐπὶ δωροδοκίαις ἐς τοὺς ἱππέας ἀπὸ τῶν βουλευτῶν μετέφερε, τὰ ὑπόγυια μάλιστα αὐτοῖς ὀνειδίζων, ὅτι Κορνήλιος Κόττας καὶ Σαλινάτωρ καὶ τρίτος ἐπὶ τούτοις Μάνιος Ἀκύλιος, ὁ τὴν Ἀσίαν ἑλών, σαφῶς δεδωροδοκηκότες, ἀφεῖντο ὑπὸ τῶν δικασάντων· οἵ τε πρέσβεις οἱ κατ' αὐτὸν ἔτι παρόντες, σὺν φθόνῳ ταῦτα περιϊόντες ἐνεκράγεσαν. ἅπερ ἡ βουλὴ μάλιστα αἰδουμένη, ἐς τὸν νόμον ἐνεδίδου, καὶ ὁ δῆμος αὐτὸν ἐκύρου· καὶ μετηνέχθη μὲν ὧδε ἐς τοὺς ἱππέας ἀπὸ τῆς βουλῆς τὰ δικαστήρια. φασὶ δέ, κυρωθέντος ἄρτι τοῦ νόμου, τὸν Γράκχον εἰπεῖν ὅτι ἀθρόως τὴν βουλὴν καθῃρήκει· τοῦ δ' ἔργου προϊόντος ἐς πεῖραν, μειζόνως ἔτι ἐκφανῆναι τὸ ἔπος τοῦ Γράκχου. τῷ τε γὰρ δικάζειν αὐτοὺς Ῥωμαίοις καὶ Ἰταλιώταις ἅπασι, καὶ αὐτοῖς βουλευταῖς ἐπὶ παντὶ μέτρῳ, χρημάτων τε πέρι καὶ ἀτιμίας καὶ φυγῆς, τοὺς μὲν ἱππέας, οἷα τινὰς ἄρχοντας αὐτῶν ὑπερεπῆρε, τοὺς δὲ βουλευ-

βουλευτὰς ἴσα ϗ ὑπηκόους ἐποίει· συνιστάμενοί τε τοῖς δημάρχοις οἱ ἱππεῖς ἐς τὰς χειροτονίας, καὶ ἀντιλαμβάνοντες παρ᾽ αὐτῶν ὅ,τι θέλοιεν, ἐπὶ μέγαν φόβον τοῖς βουλευταῖς ἐχώρουν· ταχύ τε περιῆν ἀνεστράφθαι τὸ κράτος τῆς πολιτείας, τὴν μὲν ἀξίωσιν μόνην ἔτι τῆς βουλῆς ἐχούσης, τὴν δὲ δύναμιν, τῶν ἱππέων. προϊόντες γὰρ οὐκ ἐδυνάστευον μόνον, ἀλλὰ καὶ σαφῶς ἐνύβριζον τοῖς βουλευταῖς παρὰ τὰς δίκας. τὴν δὲ δωροδοκίαν μεταλαβόντες, ϗ γευσάμενοι ϗ οἵδε κερδῶν ἀθρόων, αἰσχρότερον ἔτι καὶ ἀμετροτέρων αὐτοῖς ἐχρῶντο· κατηγόρους τε ἐνετοὺς ἐπὶ τοῖς πλουσίοις ἐπήγοντο, καὶ τὰς τῶν δωροδοκιῶν δίκας συνιστάμενοι σφίσιν αὐτοῖς καὶ βιαζόμενοι παμπαν ἀνῄρουν· ὡς καὶ τὸ ἔθος ὅλως τῆς τοιᾶσδε εὐθύνης ἐπιλιπεῖν, καὶ στάσιν ἄλλην τῶν δικαστικῶν νόμων οὐκ ἐλάσσω τῶν προτέρων ἐς πολὺ παραχεῖν. ὁ δὲ Γράκχος καὶ ὁδοὺς ἔτεμνεν ἀνὰ τὴν Ἰταλίαν μακράς, πλῆθος ἐργολάβων καὶ χειροτεχνῶν ὑφ᾽ ἑαυτῷ ποιούμενος, ἑτοίμων ἐς ὅ,τι κελεύοι. καὶ ἀποικίας εἰσηγεῖτο πολλάς· καὶ τοὺς Λατίνους ἐπὶ πάντας ἐκάλει τῶν Ῥωμαίων, ὡς οὐκ εὐπρεπῶς συγγενέσι τῆς βουλῆς ἀντιστῆναι δυναμένης· τῶν τε ἑτέρων συμμάχων οἷς οὐκ ἐξῆν ψῆφον ἐν ταῖς Ῥωμαίων χειροτονίαις φέρειν, ἐδίδου φέρειν ἀπὸ τοῦδε, ἐπὶ τῷ ἔχειν καὶ τούσδε ἐν ταῖς χειροτονίαις τῶν νόμων αὐτῷ συντελοῦντας· ἐφ᾽ ᾧ δὴ μάλιστα ἡ βουλὴ διαταραχθεῖσα, τοὺς ὑπάτους

verò in ſubditorum ordinem redigi: atque ita ſuffragante tribuniſpl. equeſtri ordine, illis verò parem gratiam referre paratis, ſenatui timor ingens injectus eſt: nec multum aberat quin, verſa reipubl. forma, equitum ſolorum fieret potentia, honore tantùm ſenatui relicto. progreſſu enim temporis non modò ſubjiciebatur ampliſſimus ordo equitibus, ſed propalam etiam ſenatores injuriis afficiebantur à judicibus, qui capti deguſtatorum lucrorum dulcedine, turpius & immoderatius poteſtate abutebantur: divitibus accuſatores ſubornabant, factáque conſpiratione leges corruptelis judicum oppoſitas vel eludebant vel ſuperbè contemnebant: ita ut quum nunquam repoſceretur judiciorum ratio, non minor prioribus exorta ſit ſeditio de legibus judiciariis, duratura & ipſa aliquandiu. At Gracchus vias etiam per Italiam muniebat longas, multitudinem operariorum manibus victum quærentium obnoxiam ſibi præparans, ad quævis cœpta juvanda facilem: multáſque deducebat colonias. quin & Latinos invitabat ad petendum jus Romanæ civitatis, quaſi eſſet res indigna, ſenatum cognatorum populorum cupiditati reſiſtere, ceteris quoque ſociis contra veterem morem, jus ſuffragiorum dabat: uſurus & eorum opera in ferendis quas deſtinarat legibus. Non alia res magis ſenatum terruit: móxque Senatuſconſultum fa-

Equeſtris ordo potentia abutitur.

364

ctum

Senatuſconſultum.

ctum eſt, edicerent coſſ. ne quis niſi qui jus ſuffragii habeat, vel in Urbe ſit vel intra quintum ab Urbe lapidem, tantiſper dum ſuffragia perferuntur de recens tum promulgatis legibus. perſuaſum eſt & Livio Druſo ut Gracchi collegæ rogationibus intercederet, nec tamẽ rationem intercedendi redderet apud populum. idem jus & cuivis intercedenti datum eſt. plebi verò deliniendæ XII coloniæ conceſſæ ſunt: quæ res ut plebeiis longè gratiſſima, promulgatarum legum fecit faſtidium.

Livius Druſus Gracchi collega.

Tum Gracchus, favore plebis fruſtratus, in Africam unà cum Fulvio Flacco (conſularis hic eadem de cauſa collega in tribunatu Graccho datus fuerat) trajecit: quò ob ſoli ubertatem colonia decreta fuerat: ablegatis de induſtria colonis, ut per eorum abſentiam ſenatus aliquantulum reſpiraret à vulgi ſeditionibus. Coloniæ locus deſignatus eſt in ruinis Carthaginis, contempta Scipionis ejus demolitoris voluntate, qui compaſcuam in ſempiternum devoverat, aſcripti ſunt eò ſexies mille, ſupra lege præſtitutum numerum, ut ſic quoque plebem magis obnoxiam ſibi redderent. Romam inde reverſi, exciebant illos ſexies millenos ex tota Italia. Quúmque per literas ſignificatum eſſet ex Africa à coloniæ deſignatoribus, lupos diſturbaſſe terminos poſitos à Graccho & Fulvio, negantibus auguribus fas eſſe illuc colonos deduci, ſenatus indixit comitia, in quibus lex de ea colonia abro-

Romanorum colonia deſignata in ruinis Carthaginis.

ἐκέλευσε προγράψαι, μηδένα τῶν οὐ φερόντων ψῆφον ἐπιδημεῖν τῇ πόλει, μηδὲ προσπελάζειν ἀπὸ τεσσαράκοντα σταδίων παρὰ τὴν ἐσομένην περὶ τῶνδε τῶν νόμων χειροτονίαν. Λίβιόν τε Δροῦσον, ἕτερον δήμαρχον, ἔπεισε κωλῦσαι τοὺς Γράκχου νόμους, οὐκ ἐπιλέγοντα τῷ δήμῳ τὰς αἰτίας· δέδοται δὲ τῷ κωλύοντι μηδ' ἐπιλέγειν. ἔδωκαν δ' αὐτῷ καὶ φιλανθρωπεύσασθαι τὸν δῆμον δώδεκα ἀποικίας· ᾧ δὴ καὶ μάλιστα ὁ δῆμος, ἡσθείς, τῶν Γράκχου νόμων κατεφρόνησεν.

Ὁ δὲ, τοῦ δημοκοπήματος ἐκπεσὼν, ἐς Λιβύην, ἅμα Φουλβίῳ Φλάκκῳ, κἀκείνῳ μεθ' ὑπατείαν διὰ τάδε δημαρχεῖν ἑλομένῳ, διέπλευσεν· ἐψηφισμένης κατὰ δόξαν εὐκαρπίας ἐς Λιβύην ἀποικίας, καὶ τῶνδε αὐτῶν οἰκιστῶν ἐπίτηδες ᾑρημένων, ἵνα μικρὸν ἀποδημούντων, ἀναπαύσαιτο ἡ βουλὴ τῆς δημοκοπίας. οἱ δὲ τῇ ἀποικίᾳ τὴν πόλιν διέγραφον ἔνθα ποτὲ ἦν ἡ Καρχηδονίων· οὐδὲν φροντίσαντες ὅτι Σκιπίων αὐτὴν ὅτε κατέσκαπτεν, ἐπηράσατο ἐς ἀεὶ μηλόβοτον εἶναι. διέγραφον δ' ἐς ἑξακισχιλίους ἀντὶ ἐλαττόνων ἐν τῷ νόμῳ, ὡς καὶ τῷδε τὸν δῆμον ὑπαξόμενοι. ἐπανελθόντες τε ἐς Ῥώμην, συνεκάλουν ἐξ ὅλης Ἰταλίας τοὺς ἑξακισχιλίους. ἐπιστειλάντων δὲ τῶν ἐν Λιβύῃ τὴν πόλιν ἔτι διαγραφόντων, ὅτι λύκοι τοὺς ὅρους Γράκχου τε καὶ Φουλβίου διέρριψαν ἀνασπάσαντες, καὶ τῶν μάντεων τὴν ἀποικίαν ἡγουμένων ἀπαίσιον· ἡ μὲν βουλὴ προέγραφεν ἐκκλησίαν, ἐν ᾗ τὸν νόμον ἔμελλε τὸν περὶ τῆσδε τῆς ἀποικίας λύσειν. ὁ δὲ

Γράκχος

Γράκχος καὶ ὁ Φούλβιος, ἐπεὶ καὶ
τοῦδε ἐξέπιπτον, μεμηνόσιν ἐοικό-
τες, ἐψεῦσθαι τὴν βουλὴν ἔφασκον
περὶ τῶν λύκων· οἵ τε θρασύτατοι τῶν
δημοτῶν αὐτοῖς συνελάμβανον, ἐγ-
χειρίδια φέροντες ἐς τὸ Καπιτώ-
λιον, οὗ περὶ τῆς ἀποικίας ἐκκλη-
σιάσειν ἔμελλον. ἤδη δὲ τοῦ δήμου συ-
νειλεγμένου, καὶ Φουλβίου τι περὶ
τούτων ἀρχομένου λέγειν, ὁ Γράκχος
ἀνέβαινεν εἰς τὸ Καπιτώλιον, ὑπὸ
τῶν συνθεμένων δορυφορούμενος· ἐνο-
χλούμενος δ' ὑπὸ τοῦ συνειδότος
ὡς ἐπὶ ἀλλοκότοις βουλεύμασι, τὴν
μὲν σύνοδον τῆς ἐκκλησίας ἀπέκλινεν,
ἐς δὲ τὴν στοὰν παρελθὼν ἐβάδιζεν,
ἐφεδρεύων παρεζομένοις· καὶ αὐτὸν
οὕτως ἔχοντα θορύβου κατιδὼν δημό-
της ἀνὴρ Ἀττίλιος ἐν τῇ στοᾷ θύων,
ἐμβαλὼν τὴν χεῖρα, εἴτε τι πυθόμε-
νος ἢ ὑποπτεύων, ἢ ἄλλως ἐς τὸν
λόγον ὑπαχθείς, ἠξίου φείσασθαι
τῆς πατρίδος. ὁ δὲ μᾶλλόν τε θορυ-
βηθείς, καὶ δείσας ὡς κατάφωρος,
ἔβλεψεν αὐτῷ δριμύ, καὶ τὶς τῶν πα-
ρόντων, οὔτε σημείου τινὸς ἐπαρθέν-
τος, οὔτε προστάγματός πω γεγο-
νότος, ἐκ μόνης δὲ ἐς τὸν Ἄττιλιον
Γράκχου δριμύτητος εἰκάσας ἤδη
τὸν καιρὸν ἥκειν, καὶ χαριεῖσθαί τι τῷ
Γράκχῳ, δόξας πρῶτος ἀρξάμε-
νος ἔργου, τὸ ἐγχειρίδιον ἐπισπά-
σας διαχρῆται τὸν Ἀττίλιον. βοῆς δὲ
γιγνομένης, καὶ σώματος ὀφθέντος
ἐν μέσῳ νεκροῦ, πάντες ἐκ τοῦ ἱε-
ροῦ κατεπήδων σὺν ὁμοίου κακοῦ φό-
βῳ. Γράκχος δ' ἐς τὴν ἀγορὰν
εἰσελθὼν, ἐβούλετο μὲν αὐτοῖς ἐκ-
λογίσασθαι περὶ τοῦ γεγονότος· οὐ-
δενὸς δ' αὐτὸν οὐδ' ὑφισταμένου,
ἀλλ' ὡς ἐναγῆ πάντων ἐκτρεπομέ-
νων· ὁ μὲν Γράκχος καὶ ὁ Φλάκκος ἀπο-

garetur. at Gracchus & Fulvius
hac quoque ſpe fruſtrati, tan-
tummodo furentes, mentiri ſe-
natum ajebant de luporum pro-
digio. His audaciſſimus quiſque
è plebe favebat, cum ſicis peten-
tes Capitolium, quò tribus vo-
cabantur ſuffragiis ferendis de
colonia; & jam populus conve-
nerat, quum, Fulvio concio- 365
nari exorſo, Gracchus in ædem
Jovis Capitolinam aſcendebat,
ſtipatus ſuis ex compoſito. ſed
impeditus ab iis qui non ignora-
bant hominem res novas moli-
ri, vitato comitio deflectens in
porticum inſidiabatur ibi adver-
ſariis. ita tumultuantem anim-
advertens vir è plebe Attilius, Attilius.
in ea porticu ſacra tunc faciens,
apprehenſum manu ſive quòd
ſciret aliquid: ſive ſuſpicaretur,
ſive alioqui captans colloquium,
rogabat ut patriæ parceret. Ille
magis etiam turbatus, quaſi de-
prehenſus in facinore, eum tor-
vè aſpexit. tum quidam ex Grac-
chanis injuſſus, & non expecta-
to ſigno, ex ſolo vultu conje-
ctans adeſſe tempus, ratúſque
initurum ſe gratiam apud patro-
num ſi primus rem aggredere-
tur, ſtricto ferro trajecit Atti-
lium. clamore autem exorto & Ejus interitus.
conſpecto in turba cadavere,
omnes pariter ſibi metuentes
defugerunt è templo properè.
Gracchus forum ingreſſus vole-
bat rationem facti reddere: ſed
nemine eum expectante, omni-
bus ut impium averſantibus, i-
pſe ac Flaccus amiſſa rei gerendæ
occaſio-

occaſione anxii, ſuam quiſque
domum recurrunt: eôdem &
ceteri ejus factionis ſe conferunt.
reliqua plebs, tanquam in pu-
blico tumultu, forum de me-
dia nocte occupat. alter conſu-
Opimius conſul. lum qui in Urbe manſerat Opi-
mius, armatos prima luce di-
ſponit, præſidium Capitolio,
ſenatum per præcones convo-
cat, ipſe media in urbe ædem
Caſtorum occupat, in omnem
occaſionem intentus. In hoc re-
rum ſtatu ſenatus Gracchum &
Flaccum ad cauſam in curia di-
cendam evocat: at illi armati
in Aventinum excurrunt, ſpe-
rantes hoc occupato ſenatum
conditiones pacis arrepturum.
ſervos quoque, ſed fruſtrà, vo-
cant ad pileum. itaque cum ſuo-
rum manu ædem Dianæ mu-
366 niunt. inde Quintum, Flacci fi-
lium, ad ſenatum mittunt actu-
rum de concordia. Reſponſum
eſt, venirent ipſi poſitis armis,
& quæ vellent dicerent: aliàs
non eſſe cur ad ſe quenquam
mittant in poſterum. Sed quum
Quintus revertiſſet, Opimius
cum ob contemptam denuntia-
tionem, tanquam non jam le-
gatum, comprehendi juſſit, ſi-
múlque armatos contra Grac-
chum miſit: ille per ſublicium
pontem fugit trans Tiberim, in
quendam lucum, comite unico
ſervo: cui mox ne in poteſtatem
inimicorum veniret, jugulum
Gracchi interitus. præbuit. Flaccus in familiaris cu-
juſdam officinam confugit, cum

ρούμενοι, καὶ τὸν καιρὸν ὧν ἐβουλεύοντο φθάσαι τὴν ἐγχείρησιν ἀπολωλεκότες, ἐς τὰς οἰκίας διέτρεχον, καὶ οἱ συνθέμενοι αὐτοῖς συνῄεσαν ἐς αὐτάς. τὸ δ' ἄλλο πλῆθος ἐκ μέσων νυκτῶν, ὡς ἐπὶ δή τινι κακῷ, τὴν ἀγορὰν προκατελάμβανον. καὶ ὃς ἐπεδήμει τῶν ὑπάτων Ὀπίμιος, διέτασσε μὲν τινὰς ἐν ὅπλοις ἐς τὸ Καπιτώλιον ἅμα ἕῳ συνιέναι, καὶ τὴν βουλὴν διὰ κηρύκων συνεκάλει· αὐτὸς δ' ἐν μέσῳ πάντων ἐν τῷ ναῷ τῶν Διοσκούρων ἐφέδρευε τοῖς ἐσομένοις. τὰ δὲ ἦν τοιάδε. ἡ μὲν βουλὴ Γράκχον καὶ Φλάκκον ἐκ τῶν οἰκιῶν ἐς ἀπολογίαν ἐς τὸ βουλευτήριον ἐκάλουν· οἱ δὲ σὺν ὅπλοις ἐξέθεον ἐπὶ τὸν Ἀβεντῖνον λόφον, ἐλπίσαντες, εἰ τόνδε προλάβοιεν, ἐνδώσειν πρὸς τὰς συνθήκας αὐτοῖς τὴν βουλήν· διαθέοντές τε τοὺς θεράποντας συνεκάλουν ἐπ' ἐλευθερίᾳ· καὶ τῶνδε μὲν οὐδεὶς ὑπήκουεν, αὐτοὶ δὲ σὺν ὅσοις εἶχον ἀμφ' αὐτούς, τὸ Ἀρτεμίσιον καταλαβόντες, ἐκρατύνοντο· καὶ Κόϊντον, Φλάκκου παῖδα, ἐς τὴν βουλὴν ἔπεμπον, δεόμενοι διαλλαγῶν τυχεῖν, καὶ βιοῦν μεθ' ὁμονοίας· οἱ δ' ἐκέλευον αὐτοὺς ἀποθεμένους τὰ ὅπλα ἥκειν ἐς τὸ βουλευτήριον, καὶ λέγειν ὅ,τι θέλοιεν, ἢ μηκέτι πέμπειν μηδένα. τῶν δ' αὖθις τὸν Κόϊντον ἐπιπεμψάντων, τόνδε μὲν Ὀπίμιος ὁ ὕπατος, διὰ τὴν προαγόρευσιν, ὡς οὐκ ἔτι πρεσβευτὴν ὄντα, συνελάμβανε· τοῖς δὲ περὶ τὸν Γράκχον τοὺς ὡπλισμένους ἔπεμπε· καὶ Γράκχος μὲν διὰ τῆς ξυλίνης γεφύρας ἐς τὸ πέραν τοῦ ποταμοῦ καταφυγὼν εἰς ἄλσος τι μεθ' ἑνὸς θεράποντος, ὑπέσχε τῷ θεράποντι τὴν σφαγὴν καταλαμβανόμενος. Φλάκκου δ' ἐς ἐργαστήριον ἀνδρὸς γνωρί-

μου

μένου καταφυγόντος, οἱ μὲν διώκοντες, τὴν οἰκίαν οὐκ εἰδότες, ὅλον ἐμπρήσειν τὸν στενωπὸν ἠπείλουν· ὁ δ᾽ ὑποδεξάμενος, αὐτὸς μὲν ὤκνησε μηνῦσαι τὸν ἱκέτην, ἑτέρῳ δὲ προσέταξε μηνῦσαι. καὶ συλληφθεὶς ὁ Φλάκκος ἀνῃρέθη. Γράκχου μὲν δὴ καὶ Φλάκκου τὰς κεφαλὰς ἔφερον τινὲς Ὀπιμίῳ· καὶ αὐτοῖς Ὀπίμιος ἰσοβαρὲς χρυσίον ἀντέδωκεν· ὁ δὲ δῆμος αὐτῶν τὰς οἰκίας διήρπαξε, καὶ τοὺς συμφρονήσαντας ὁ Ὀπίμιος συλλαβών, ἐς τὴν φυλακὴν ἐνέβαλέ τε καὶ ἀποπνιγῆναι προσέταξε. Κοΐντῳ δὲ τῷ Φλάκκου παιδὶ συνεχώρησεν ἀποθανεῖν ὡς θέλοι· καὶ τὴν πόλιν ἐπὶ τοῖς φόνοις ἐκάθαιρεν. ἡ δὲ βουλὴ καὶ νεὼν Ὁμονοίας αὐτὸν ἐν ἀγορᾷ προσέταξεν ἐγεῖραι.

Καὶ ἡ στάσις ἡ τοῦ δευτέρου Γράκχου ἐς τάδε ἔληγε· νόμος τε οὐ πολὺ ὕστερον ἐκυρώθη, τὴν γῆν ὑπὲρ ἧς διεφέροντο, ἐξεῖναι πιπράσκειν τοῖς ἔχουσιν· (ἀπείρητο γὰρ ἐκ Γράκχου τοῦ προτέρου καὶ τόδε) καὶ αὖθις οἱ πλούσιοι παρὰ τῶν πενήτων ἐωνοῦντο, ἢ ταῖσδε ταῖς προφάσεσιν ἐβιάζοντο· καὶ περιῆν ἐς χεῖρον ἔτι τοῖς πένησι, μέχρι Σπούριος Βόριος δημαρχῶν εἰσηγήσατο νόμον, τὴν μὲν γῆν μηκέτι διανέμειν, ἀλλ᾽ εἶναι τῶν ἐχόντων, καὶ φόρους ὑπὲρ αὐτῆς τῷ δήμῳ κατατίθεσθαι, καὶ τάδε τὰ χρήματα χωρεῖν ἐς διανομάς. ὅπερ ἦν μέν τις τοῖς πένησι παρηγορία, διὰ τὰς διανομάς, ὄφελος δ᾽ οὐδὲν ἐς πολυπληθίαν. ἅπαξ δὲ τοῖς σοφίσμασι τοῖσδε τοῦ Γρακχείου νόμου παραλυθέντος, ἀρίστου καὶ ὠφελιμωτάτου εἰ ἐδύνατο πραχθῆναι γινομένου. καὶ τοὺς φόρους οὐ πολὺ ὕστερον διέλυσε δήμαρχος ἕτερος, καὶ ὁ δῆμος ἀ-

qui perſequebantur, ignari quam in domum ſe abdidiſſet, toti vico minabantur incendium. is verò qui trepidum exceperat, ipſe quidem veritus eſt prodere ſupplicem, alium tamen quendam juſſit indicium facere. Flaccus comprehenſus & occiſus eſt. utriuſque caput relatum ad conſulem, pari repenſum eſt auri pondere. domus eorum direptæ à populo. conſpirationis ſociis in carcere juſſu conſulis laqueo gula fracta eſt. Quinto, Flacci filio, permiſſum eſt ſuo arbitratu genus mortis eligere. deinde Urbs luſtrata à cædibus: & Concordiæ fanum in foro ex S. C. conditum.

Flacci interitus.

Quinti, Flacci filii, interitus.

Concordiæ fanum extructum.

Is exitus fuit ſecundæ ſeditionis Gracchanæ. Nec ita multo pòſt lex lata eſt, licere cuique ſuam portionem agri vendere, quod ſuperior Gracchus vetuerat: móxque pauperes à divitibus poſſeſſione agrorum ſubmovebantur vel vi vel pretio: donec Sp. Borius tribunuſpl. in totum abrogavit legem agrariam, relictis agris in poſſeſſione dominorum veterum, modò tributa penderentur populo, & pecunia inde collecta viritim diſtribueretur. id quod pauperum ſolatium fuit, non infrequentiæ remedium. Ita eluſis ſemel Gracchi legibus, perutilibus alioqui reipubl. ſi conatus ſucceſſiſſet, non multo pòſt alius tribunuſplebis tributum etiam abrogavit, plebi nihil factum eſt

Sp. Borius.

Lex agraria abrogata.

367

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

reliquum. inde ſecuta tum civium tum militum raritas, diminuti reditus populo Romano & ſtipendia: non legibus ſua vis manſit: à judiciis quoque ceſſatum eſt ad annum fermè quintumdecimum, ex quo lata fuerat lex agraria.

Theatrum Scipio demolitur: & cur.

Per idem tempus Scipio coſ. theatrum demolitus eſt, inchoatum à Lucio Caſſio, & tum penè abſolutum: quòd hæc quoque videretur novarum ſeditionum materia: vel quòd exiſtimaret non eſſe è rep. populum Græcanicis voluptatibus aſſueſcere. Cenſor verò Q. Cecilius Metellus, Glauciam & Apuleium Saturninum, tribunatu defunctum, ſenatu movere conatus eſt, propter vitæ dedecora: ſed renitente collega nihil effecit. quamobrem Apuleius paulo pòſt, velut ulturus injuriam à Metello acceptam, iterum profeſſus eſt ſe candidatum tribunatus per occaſionem quòd Glaucia tunc prætor præeſſet comitiis.

Nonii interitus.

tum Nonius vir nobilis, invectus non ſine opprobriis in Apuleium & Glauciam, tribunuſpl. deſignatur. illi veriti ne poteſtatem adeptus in ſe animadverteret, ſolutis comitiis confeſtim in eum immittunt globum juvenum, qui refugientem in caupona quadam aſſecuti confoderunt. Ea cædes quum indigna videretur & miſerabilis: qui circa Glauciam, ſummo mane, priuſquam frequens plebs conveniret in comitium, tribunumpl. creant Apuleium. Ad hunc modum ſilen-

θρόως ἁπάντων ἐξεπεπτώκει· ὅθεν ἐσπάνιζον ἔτι μᾶλλον ὁμοῦ πολιτῶν τε καὶ στρατιωτῶν, καὶ γῆς προσόδου καὶ διανομῶν, καὶ νόμων, πεντεκαίδεκα μάλιστα ἔτεσιν ἀπὸ τῆς Γράκχου νομοθεσίας, ἐπὶ δίκαις ἐν ἀργίᾳ γεγονότες.

Τῷ δ' αὐτῷ χρόνῳ Σκιπίων ὕπατος καθεῖλε τὸ θέατρον, οὗ Λούκιος Κάσσιος ἦρκτο, καὶ ἤδη που τέλος ἐλάμβανεν· ὡς καὶ τόδε στάσεων ἄρξον ἑτέρων, ἢ οὐ χρήσιμον ὅλως Ἑλληνικαῖς ἡδυπαθείαις Ῥωμαίους ἐθίζεσθαι. τιμητὴς δὲ Κόϊντος Κεκίλιος Μέτελλος, Γλαυκίαν τε βουλεύοντα, καὶ Ἀπουλήϊον Σατορνῖνον δεδημαρχηκότα ἤδη, τῆς ἀξιώσεως παρέλυεν αἰσχρῶς βιοῦντας· οὐ μὴν ἐδυνήθη. ὁ γὰρ οἱ συνάρχων οὐ συνέθετο. μικρὸν οὖν ὕστερον ὁ Ἀπουλήϊος, ὡς ἀμυνούμενος τὸν Μέτελλον, ἐς ἑτέραν παρήγγελλε δημαρχίαν, φυλάξας στρατηγοῦντα τὸν Γλαυκίαν, καὶ τῆσδε τῶν δημάρχων τῆς χειροτονίας προεστῶτα. Νώνιος μὲν οὖν, ἐπιφανὴς ἀνήρ, ἔς τε τὸν Ἀπουλήϊον παρρησίᾳ χρώμενος, καὶ Γλαυκίαν ἐξονειδίζων, δήμαρχος ἀπεδείχθη. δείσαντες δ' ὁ Γλαυκίας καὶ ὁ Ἀπουλήϊος μὴ δημαρχῶν αὐτοὺς ἀμύναιτο, ὄχλον ἀνδρῶν εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἀπιόντι ἐπιπέμπουσι σὺν θορύβῳ, καὶ ἔς τι πανδοχεῖον συμφυγόντα κατεκέντησαν. τοῦ δὲ πάθους οἰκτροῦ καὶ δεινοῦ φανέντος, οἱ περὶ τὸν Γλαυκίαν, οὔπω τοῦ δήμου συνελθόντος, ἅμ' ἕῳ χειροτονοῦσι δήμαρχον τὸν Ἀπουλήϊον. καὶ τὸ μὲν Νωνίου πάθος ὧδε ἐσιγήθη διὰ τὴν δημαρχίαν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

Ἀπουληΐου, δεδιότων αὐτὸν ἔτι ἐξελέγχειν. ἐξηλάθη δὲ καὶ Μέτελλος ὑπ' αὐτῶν, προσλαβόντων Γάϊον Μάριον, ἕκτην ἄρχοντα ὑπατείαν, ἐχθρὸν ἀφανῆ τοῦ Μετέλλου. καὶ συνέπραξαν ὧδε ἅπαντες ἀλλήλοις· ὁ μὲν Ἀπουλήϊος νόμον ἐσέφερε, διαδάσασθαι γῆν ὅσην ἐν τῇ νῦν ὑπὸ Ῥωμαίων καλουμένῃ Γαλατίᾳ Κίμβροι γένος Κελτῶν κατειλήφεσαν, καὶ αὐτοὺς ὁ Μάριος ἔναγχος ἐξελάσας, τὴν γῆν ὡς οὐκέτι Γαλατῶν, ἐς Ῥωμαίους περιεσπάκει. προσέκειτο δὲ, εἰ κυρώσειε τὸν νόμον ὁ δῆμος, τὴν βουλὴν πένθ' ἡμέραις ἐπομόσαι πεισθήσεσθαι τῷ νόμῳ· ἢ τὸν οὐκ ὀμόσαντα μήτε βουλεύειν, καὶ ὀφλεῖν τῷ δήμῳ τάλαντα εἴκοσιν, ὑπονοοῦντες οὕτως ἄλλους τε τῶν δυσχεραινόντων ἀμυνεῖσθαι, καὶ Μέτελλον ὑπὸ φρονήματος οὐκ ἐνδώσοντα πρὸς τὸν ὅρκον. ὁ μὲν δὴ νόμος ὧδε εἶχε. καὶ ὁ Ἀπουλήϊος ἡμέραν αὐτοῦ τῇ δοκιμασίᾳ προὐτίθει, καὶ περιέπεμπε τοὺς ἐξαγγέλλοντας τοῖς οὖσιν ἀνὰ τοὺς ἀγρούς, οἷς δὴ καὶ μάλιστ' ἐθάρρουν ὑπεστρατευσαμένοις Μαρίῳ· πλεονεκτούντων δ' ἐν τῷ νόμῳ τῶν Ἰταλιωτῶν, ὁ δῆμος ἐδυσχέραινε· καὶ στάσεως ἐν τῇ κυρίᾳ γενομένης, ὅσοι μὲν ἐκώλυον τῶν δημάρχων τοὺς νόμους, ὑβριζόμενοι πρὸς τοῦ Ἀπουληΐου κατεπήδων ἀπὸ τοῦ βήματος· ὁ δὲ πολιτικὸς ὄχλος ἐβόα, ὡς γενομένης ἐν ἐκκλησίᾳ βροντῆς, ὅθεν οὐ θέμις ἐστὶ Ῥωμαίοις οὐδὲν ἔτι κυροῦν. βιαζομένων δὲ καὶ ὣς τῶν περὶ τὸν Ἀπουλήϊον, οἱ πολιτικοὶ, τά τε ἱμάτια διαζωσάμενοι, καὶ τὰ προστυχόντα ξύλα ἁρπάσαντες, τοὺς ἀγροίκους διέστησαν.

tium fuit de Nonio, nemine auſo jam tribunum facinoris ejus coarguere. Metellus quoque actus eſt in exilium, conſpirante cum inimicis ejus C. Mario, tunc ſextum conſule: cui occulta ſimultas erat cum illo. Ceterùm Apuleius legem promulgabat de dividendis agris Galliæ provinciæ, è quibus Marius nuper Cimbros ſummoverat, ut jam Romani juris eſſent non Gallici. aſcriptum erat legi, ut ſi plebs eam ſciviſſet, ſenatus intra quintum diem autor fieret jurejurando addito: qui recuſaret jurare, ſenatu moveretur, & inſuper mulctaretur talentis viginti. ita captabatur vindictæ occaſio: quòd tum alii tum Metellus ipſe vir magnanimus, non videretur paſſurus ſe ſacramento adigi: & lex quidem fuit talis. Apuleius verò diem dixit comitiis: dimiſſis interim nuntiis circa ruſticas tribus, quibus maximè fidebat, quòd ex eis plerique militaſſent ſub Mario. ea lex quia magis conducere videbatur ſociis, plebi parum grata erat. itaque ratione comitiorum confuſa, quotquot diſſuadere legem conabantur, deturbabantur per Apuleium è ſuperiore loco. tum urbana multitudo exclamat, quaſi audito tonitru. quod quoties accidit, nefas eſt quidquam decernere. Apuleianis autem ne tum quidem à vi abſtinentibus, urbani præcinctis togis, & vertentes in telum quicquid fors obtulit, disjecerunt ruſticos. At illi convocante

Metellus actus in exilium.

Apuleii lex.

368

Jove tonante nefas legem ferre.

 rurſus

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

rurſus Apuleio conglobati occurrerunt urbanis, armati & ipſi fuſtibus: viceruntque ut lex perferretur. quo facto confeſtim Marius coſ. ad ſenatum de jurejurando retulit: & quòd ſciret Metellum conſtantem ac firmum in propoſito, primus ſententiam dixit, illi dolum ſtruens: negavítque ſe unquam ſua ſponte juraturum. quúmque Metellus aſſenſiſſet, collaudantibus utrunque ceteris, ſenatus dimiſſus eſt. quinto verò pòſt die, quem lex ſacramento præſcripſerat terminum, circiter horam decimam coſ. properè coacto ſenatu, ait ſe timere plebem legi faventem totis ſtudiis, adverſus eam ſe providiſſe fallaciam hanc: jurandum eſſe in verba legis, quatenus ea ſit legitima: ita fore ut ad præſens diſpergatur adverſa ipſis multitudo ruſtica, poſtea verò facile oſtendatur, non eſſe legem, quæ & per vim, & Jove tonante, præter morem majorum lata ſit. His dictis, nemine expectato, dum omnes ſilent inſidiarum metu & præ anguſtiis temporis, ac ne ſpatio quidem ad cogitandum conceſſo, ſurgit & in ædem Saturni
369 proficiſcitur, ubi ærarii præfectos jurare oportebat: primúſque cum amicis jurejurando ſe obligat. idem & reliqui ſenatores faciunt, dum ſibi quiſque metuit.
Metellus. Solus Metellus jurare noluit, intrepidè perſtans in ſententia. quem Apuleius ſequenti die per apparitorem extraxit è curia: & jubentibus ceteris tribus cum

οἱ δ' αὖθις ὑπὸ τοῦ Ἀπουληΐου συγκαλούμενοι, μετὰ ξύλων καὶ οἵδε τοῖς ἀστικοῖς ἐπήεσαν, καὶ βιασάμενοι, τὸν νόμον ἐκύρωσαν· κυρωθέντος δ' αὐτίκα Μάριος ὁ ὕπατος τῇ βουλῇ προὐτίθει σκοπεῖν περὶ τοῦ ὅρκου· καὶ τὸν Μέτελλον εἰδὼς στερρόν τε τῇ γνώμῃ καὶ βέβαιον ἐφ' ὅ, τι φρονήσειεν, ἢ εἰπεῖν φθάσειεν, ἐτίθει πρῶτος ἐς μέσον τὴν γνώμην τὴν ἑαυτοῦ μετ' ἐνέδρας, καὶ ἔλεγεν ὡς οὔποτε τὸν ὅρκον ἑκὼν τόνδε αὐτὸς ὀμόσειε. συναποφηναμένου δὲ τοῦτα καὶ τοῦ Μετέλλου, καὶ τῶν ἄλλων αὐτοὺς ἐπαινεσάντων, ὁ Μάριος διέλυσε τὴν βουλήν. εἶτα τῆς πέμπτης ἡμέρας, (ἣ τοῦ ὅρκου τελευταία κατὰ τὸν νόμον ἦν) ἀμφὶ δεκάτην ὥραν αὐτοὺς μετὰ σπουδῆς συναγαγὼν, ἔφη τὸν δῆμον ἐσπουδακότα περὶ τὸν νόμον δεδιέναι· μηχάνημα δ' ὁρᾶν καὶ σόφισμα τοιόνδε· ὀμόσειν γὰρ ἣ νόμος ἐστὶ, τῷδε πείθεσθαι τῷ νόμῳ· καὶ νῦν μὲν, οὕτω διασκεδᾶν τοὺς ἀπὸ τῶν ἀγρῶν ἐνηδρευμένους, ὕστερον δ' οὐ δυσχερῶς ἐπιδείξειν, ὅτι οὐκ ἔστι νόμος, ὁ πρὸς βίαν τε καὶ βροντῆς ὠνομασμένης κεκυρωμένος παρὰ τὰ πάτρια. Ταῦτα δ' εἰπὼν, καὶ τέλος οὐδὲν ἀναμείνας, πάντων ἔτι σιωπώντων ὑπ' ἐκπλήξεως ἐπὶ τῇ ἐνέδρᾳ, καὶ τοῦ χρόνου δεδαπανημένου, οὐδ' ἐνθυμηθῆναί τι παρασχὼν αὐτοῖς, ἐξανίσταται εἰς τὸν τοῦ Κρόνου νεὼν, οὗ τοὺς ταμίας ἐχρῆν ὀμνύναι· καὶ ὤμνυε σὺν τοῖς φίλοις πρῶτος· ὤμνυον δὲ καὶ οἱ λοιποὶ, τὸ ἑαυτοῦ δεδιὼς ἕκαστος. Μέτελλος δ' οὐκ ὤμοσε μόνος, ἀλλ' ἐπὶ τῆς ἑαυτοῦ προαιρέσεως διέμεινεν ἀφόβως· καὶ αὐτὸν εὐθὺς τῆς ἐπιούσης ὁ Ἀπουλήϊος, ἐπιπέμψας τὸν ὑπηρέτην, ἐξεῖλκεν ἀπὸ τοῦ βουλευτηρίου.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

ρὶκ. ρυομένων δὲ τῶν ἑτέρων δημάρχων, ὁ Γλαυκίας καὶ ὁ Ἀπουλήιος ἐς τοὺς ἀγροίκους ἐκδραμόντες, οὐκ ἔφασκον αὐτοῖς ἔσεσθαι τὴν γῆν, οὐδὲ τὸν νόμον κύριον, εἰ μὴ Μέτελλος ἐξελαθείη. ψήφισμά τε φυγῆς ἐπέγραφον αὐτοῦ, καὶ τοὺς ὑπάτους ἐπικηρύξαι προσετίθεσαν, μηδένα Μετέλλῳ κοινωνεῖν πυρὸς ἢ ὕδατος ἢ στέγης· ἔς τε τὴν δοκιμασίαν τοῦδε τοῦ ψηφίσματος ἡμέραν προύγραφον. δεινῆς δὲ τῶν ἀστικῶν ἀγανακτήσεως οὔσης, καὶ παραπεμπόντων αἰεὶ Μέτελλον σὺν ξιφιδίοις, ὁ Μέτελλος αὐτοὺς ἀσπασάμενος καὶ ἐπαινέσας τῆς προαιρέσεως, οὐκ ἔφη δι' ἑαυτὸν ἐάσειν οὐδένα κίνδυνον ἐπιγενέσθαι τῇ πατρίδι· καὶ τόδε εἰπὼν, ὑπεξῆλθε τῆς πόλεως· καὶ τὸ ψήφισμα ὁ Ἀπουλήιος ἐκύρου, καὶ τὰ ἐν τῷ ψηφίσματι Μάριος ἐπεκήρυττεν.

Οὕτω μὲν δὴ καὶ Μέτελλος, ἀνὴρ εὐδοκιμώτατος, ἔφευγε· καὶ ὁ Ἀπουλήιος ἐπ' αὐτῷ τρίτον ἐδημάρχει, καί τις αὐτῷ συνῆρχε, δραπέτης εἶναι νομιζόμενος, Γράκχον ἑαυτῷ πρεσβύτερον πατέρα ἐπιγράφων· καὶ τὸ πλῆθος αὐτῷ συνεπεπράχει περὶ τὴν χειροτονίαν, πόθῳ Γράκχου. προτεθείσης δὲ ὑπάτων χειροτονίας, Μάρκος μὲν Ἀντώνιος ἐπὶ τὴν ἑτέραν ἀναμφιλόγως ᾑρέθη· τὴν δὲ ὑπόλοιπον Γλαυκίας ὅδε καὶ Μέμμιος μετῄεσαν. Μεμμίου δ' ὄντος ἐπιδοξοτέρου παρὰ πολὺ, δείσας ὁ Γλαυκίας καὶ ὁ Ἀπουλήιος, ἐπιπέμπουσι τινὰς αὐτῷ σὺν ξύλοις ἐν αὐτῇ τῇ χειροτονίᾳ, οἳ τὸν Μέμμιον παίοντες ἐν μέσῳ πάντων ὁρώντων συνέκοψαν· καὶ ἡ μὲν ἐκκλησία θορυβηθεῖσα διελύετο, οὔτε νόμων οὔτε δικαστηρίων, οὔτε τινὸς αἰδοῦς ἔτι ὑπούσης· ὁ δὲ δῆμος, ἀγα-

miſſum fieri, ipſe unà cum Glaucia procurrens ad ruſticos, negabat vel agrum habituros, vel legem ratam fore, ni Metellus mittatur in exilium: itaque mox plebiſcitum factum eſt, ut ſolum verteret, coſſ. ei aqua & igne interdicerent. ſenatui ad deliberandum ſuper ea re dies unus datus eſt, id urbani quum ægerrimè paterentur, & illum ſicis ſub veſte accincti deducerent, ipſe comiter laudata voluntate ſuorum, negavit ſe commiſſurum ut patriæ periculorum cauſa fieret. Sic Apuleius legem de ejus exilio pertulit quam Marius mox edicto ratam habuit.

Hunc in modum vir laudatiſſimus exulatum abiit. Apuleius in tertium deinceps annum trib. pl. refectus eſt, addito collega fugitivo quodam, ut tum ferebatur, qui ſe Gracchi majoris jactabat filium, vulgo hominum cupidè ſuffragante ob ipſius Gracchi deſiderium. Conſularibus dein comitiis M. Antonius uno omnium conſenſu coſ. creatus eſt, de collega futuro ambigebatur, Glaucia Memmióque competentibus. ſed quum Memmius multo eſſet nobilior, Glaucia & Apuleius ſibi timentes, in ipſis comitiis immiſerunt in eum quoſdam, qui omnibus inſpectantibus confecerunt hominem fuſtibus. Itaque concio per tumultum ſolvitur, ſublatis omnino legibus unà cum judiciis, atque omni hominum deorúmve reverentia. Poſtridie populus indigni-

Memmius.

Glaucias.

Apuleius.

Memmii interitus.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

dignitate rei motus in unum properè convenit, Apuleio necem minitans. at ille nova multitudine ex agris excita, aſſumpto Glaucia, & C. Saufeio quæſtore, Capitolium occupat: quumque ſenatus hoſtes eos judicaſſet, Marius gravatim quidem, armat tamen nonnullos, ídque cunctanter: alii, morarum pertæſi, tubos in templum aquam ducentes intercidunt, ita ut Saufeius ſitim non ferens, ſuaderet Capitolium incendere. Sed Glaucia & Apuleius, Mario freti, deditionem fecerunt primi, & poſt illos Saufeius coſ. omnibus necem eorum conclamantibus, in curiam eos incluſit, velut legitimè ſumpturus de eis ſupplicium. plebs verò ſimulationem hanc eſſe rata, curiæ tegulas convulſas jaciebat in incluſos, donec quæſtorem & tribunumplebis & prætorem interemerunt, etiam tum ornatos magiſtratus inſigniis. periit & alia turba eadem ſeditione afflicta, & in ea tribunus ille Gracchi filius habitus, primo initi magiſtratus die, non libertate ſua quem quam tuente, non reip. forma, non legibus, non dignitate, non magiſtratu: quando ſacroſancta poteſtas tribunitia cohibendis ſceleribus & protegendis plebeiis inventa, nec injuriis temperabat, & ipſa ferebat illatas ab aliis. occiſis tribunis S. P. Q. R. Metellum revocari flagitabat clamoribus. at P. Furius ne ingenuo quidem patre

C. Saufeius quæſtor.

370

Quæſtoris, trib. plebis & prætoris interitus.

Sacroſancta poteſtas tribunitia.

γνωστῶν, ἐς τὴν ἐπιοῦσαν ἡμέραν μετ' ὀργῆς συνέτρεχεν, ὡς κτενοῦντες τὸν Ἀπουλήϊον· ὁ δ' ἄλλο πλῆθος ἁλίσας ἀπὸ τῶν ἀγρῶν, μετὰ Γλαυκίου καὶ Γαΐου Σαφηΐου ταμίου τὸ Καπιτώλιον κατέλαβε. καὶ αὐτοὺς τῆς βουλῆς ἀναιρεθῆναι ψηφισαμένης, ὁ Μάριος ἀχθόμενος, ὅμως ὥπλιζε τινὰς σὺν ὄκνῳ, καὶ βραδύνοντος, ἕτεροι τὸ ὕδωρ τὸ ἐπιρρέον ἐς τὸ ἱερὸν διέτεμον. καὶ Σαφήϊος μὲν ἐμπρῆσαι τὸν νεὼν, ὑπὸ δίψης ἀπολλύμενος, ἠξίου· Γλαυκίας δὲ καὶ Ἀπουλήϊος ἐλπίσαντες αὐτοῖς ἐπικουρήσειν Μάριον, παρέδωκαν ἑαυτοὺς οἵδε πρῶτοι, καὶ ἐπ' ἐκείνοις ὁ Σαφήϊος. Μάριος δ' αὐτίκα πάντων αὐτοὺς ἀναιρεῖν κελευόντων, ἐς τὸ βουλευτήριον συνέκλεισεν, ὡς ἐννομώτερον ἐργασόμενος. οἱ δὲ, πρόφασιν τοῦτ' εἶναι νομίσαντες, τὸν κέραμον ἐξέλυον τοῦ βουλευτηρίου, καὶ τοὺς ἀμφὶ τὸν Ἀπουλήϊον ἔβαλλον, ἕως ἀπέκτειναν ταμίαν τε καὶ δήμαρχον καὶ στρατηγὸν, ἔτι περικειμένους τὰ σύμβολα τῆς ἀρχῆς. πολὺς δὲ καὶ ἄλλος ὅμιλος ἐν τῇ στάσει διέφθαρτο, καὶ δήμαρχος ἕτερος, τοῦ Γράκχου παῖς εἶναι νομιζόμενος, πρώτην δημαρχῶν ἐκείνην ἡμέραν, οὐδένα ἔτι ὠφελούσης οὔτε ἐλευθερίας, οὔτε δημοκρατίας, οὔτε νόμων, οὔτε ἀξιώσεως, οὔτε ἀρχῆς, ὅπου καὶ ἡ τῶν δημάρχων ἔς τε κώλυσιν ἁμαρτημάτων καὶ ἐς ἐπικούρησιν τῶν δημοτῶν γινομένη, ἱερὰ καὶ ἄσυλος οὖσα, τοιάδε ὕβριζε, καὶ τοιάδε ἔπασχεν. Ἀναιρεθέντων δὲ τῶν δημάρχων τὸν Ἀπουλήϊον, ἡ μὲν βουλὴ καὶ ὁ δῆμος ἐκεκράγεσαν κατακαλεῖν Μέτελλον· Πόπλιος δὲ Φούριος δήμαρχος, οὐδ' ἐλευθέρου πατρὸς,

ἀλλ'

ἀλλ' ἐξελευθέρου, θρασέως ἐνίστατο αὐτοῖς, καὶ οὐδὲ Μετέλλου τοῦ Μετέλλου παιδὸς ἱκετεύοντος αὐτὸν ἐν ὄψει τοῦ δήμου, καὶ δακρύοντος, καὶ τοῖς ποσὶ προσπίπτοντος, ἐνεκλάσθη· ἀλλ' ὁ μὲν παῖς ἐκ τῆσδε τῆς ὄψεως ΕΥ'σεβὴς ἐς τὸ ἔπειτα ἐκλήθη. τοῦ δ' ἐπιόντος ἔτους, Φούριον μὲν ἐπὶ τῷδε ἐς δίκην Γάϊος Κανουλήϊος δήμαρχος ὑπῆγε· καὶ ὁ δῆμος, οὐδὲ τοὺς λόγους ὑπομείνας, διέσπασε τὸν Φούριον· οὕτως αἰεί τι μύσος ἑκάστου ἐπὶ τῆς ἀγορᾶς ἐγίνετο. Μετέλλῳ δ' ἡ κάθοδος ἐδόθη. καὶ φασὶν αὐτῷ τὴν ἡμέραν οὐκ ἀρκέσαι, περὶ τὰς πύλας δεξιουμένῳ τοὺς ἀπαντῶντας. τρίτον μὲν δὴ τόδε ἔργον ἐμφύλιον ἦν τὸ Ἀπουληΐου, μετὰ δύο τὰ Γράκχεια. καὶ τοσάδε εἴργαστο Ῥωμαίοις.

ΟΥ῞τω δ' ἔχουσιν αὐτοῖς ὁ συμμαχικὸς καλούμενος πόλεμος ἐπιγίνεται, ἐθνῶν ἀνὰ τὴν Ἰταλίαν πολλῶν· ἀρξάμενός τε παραδόξως, καὶ ἀθρόως ἐπὶ μέγα προελθών, καὶ τὰς στάσεις ἐν Ῥώμῃ σβέσας ὑπὸ δέους ἐπὶ πολύ· λήγων δὲ καὶ ὅδε στάσεις τε ἄλλας καὶ στασιάρχας δυνατωτέρους ἀνέτρεψεν, οὐ νόμων εἰσηγήσεσιν ἔτι, οὐδὲ δημοκοπίαις, ἀλλ' ἀθρόοις στρατεύμασι κατ' ἀλλήλων χρωμένους. καὶ αὐτὸν διὰ τάδε συνήγαγον ἐς τήνδε τὴν συγγραφήν, ἔκ τε τῆς ἐν Ῥώμῃ στάσεως ἀρξάμενον, καὶ ἐς πολὺ χείρονα στάσιν ἑτέραν ἐκπεσόντα. ἤρξατο δὲ ὧδε· Φούλβιος Φλάκκος ὑπατεύων, μάλιστα δὴ πρῶτος ὅδε ἐς τὸ φανερώτατον ἤρεθιζε τοὺς Ἰταλιώτας ἐπιθυμεῖν τῆς Ῥωμαίων πολιτείας, ὡς

natus, ſed liberto, audacter eis
reſiſtebat, etiam Metellum ejus
filium ſupplicem in conſpectu
populi ad genua ſibi cum lacry-
mis provolutum aſpernatus. quo
ſactum eſt ut hic quidem tam
miſerabili ſpecie Pii cognomen Metellus
adeptus ſit: Furium verò ob hanc Pius.
pertinaciam C. Canuleius trib. Furius
pl. apud populum reum capitis C. Canuleius.
peregerit, ita ut ne expectata
quidem defenſione diſcerptus ſit
à furente multitudine. Sic tum Furii interitus.
ſemper novum aliquod in foro
committebatur piaculum. Me- Metelli reditus in
tello conceſſus eſt in patriam re- patriam
ditus: fertúrque non ſuffeciſſe quibus
integram diem gratulationibus gratulationibus
ad portam eum excipientium. exceptus.
Tertia hæc fuit Romæ diſſenſio
civium Apuleiana, poſt duas il-
las Gracchorum tempeſtates tri-
bunitias.

Interea bellum ſociale exor- 371
tum eſt, ex conſpiratione natio- Bellum ſociale.
num Italiæ. id ut inſperatum, ita
ſubitò in immenſum auctum,
urbanas ſeditiones novo terrore
ſopiit: finitum verò alias turbas
excivit ductu potentiorum prin-
cipum, qui non jam promulgan-
dis legibus aut plebeiis tumulti-
bus, ſed totis exercitibus fuerent
in mutuam perniciem. quapro-
pter inſerendum duxi his com-
mentariis, tum quòd ex urbana
ſeditione natum ſit, tum quòd in
aliam longè nocentiorem evaſe-
rit. ejus belli fuit initium hoc.
Fulvius Flaccus in conſulatu ſuo Fulvius
primus omnium apertè injecit Flaccus
pop. Rom. ſociis civitatis cupidinem, ſperantibus ſe fore non coſ.

 amplius

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

amplius ſubditos, ſed imperii participes: in qua ſententia quum firmiter perſtaret, à ſenatu ad quoddam bellum ablegatus eſt: ubi tempore conſulatus abſumpto, ille tribunatum pleb. ambiit, effecítque ut Graccho minori collega daretur. quúmque ambo hujuſmodi leges promulgarent in favorem Italici nominis, utroque cæſo, ut ſuprà narratum eſt, multo magis irritati ſunt ſociorum animi. Indignè enim ferebant, & ſe pro ſubditis magis quàm pro ſociis haberi, & Flaccum Gracchúmque ipſorum commoda publicè curantes tam miſerando mulctatos exitio. Poſt quos & Livius Druſus trib. pleb. vir genere nobilis, ſociis rogantibus legem de civitate eis danda promulgare eſt pollicitus. hoc enim maximè cupiebant, quaſi hac una ratione imperii participes futuri pro ſubditis. tribunus verò gratiam plebis præoccupans, multas colonias deducebat in Italiam & Siciliam, decretas quidem antè, ſed dilatas hactenus. ſenatum quoque ac equites tum maximè propter judicia diſſidentes invicem conabatur conciliare: quæ quum nequiret ſenatui palam reſtituere, arte utroſque aggreſſus eſt. nam quum ſenatores propter crebras ſeditiones vix trecentorum explerent numerum, promulgavit legem

Livius Druſus tr. pl.

372 ut ex equeſtri ordine adderentur totidem, delectu optimorum habito, atque ex his omnibus in poſterum legerentur judices: ut-

κοινωνοὺς τῆς ἡγεμονίας ἀντὶ ὑπηκόων ἐσομένους. εἰσηγούμενος δὲ τὴν γνώμην, καὶ ἐπιμένων αὐτῇ καρτερῶς, ὑπὸ τῆς βουλῆς ἐπί τινα στρατείαν ἐξεπέμφθη διὰ τόδε· ἐν ᾗ τῆς ὑπατείας αὐτῷ δεδαπανημένης, ὅδε καὶ δημαρχεῖν εἵλετο μετ᾽ αὐτήν, καὶ ἔπραξε γενέσθαι σὺν Γράκχῳ τῷ νεωτέρῳ. τοιάδε ἄλλα ὑπὲρ τῆς Ἰταλίας ἐσφέροντι κἀκείνῳ, ἀναιρεθέντοιν δὲ ἀμφοῖν, ὡς μοι προείρηται, πολὺ μᾶλλον ἠρέθιστο ἡ Ἰταλία· οὔτε γὰρ ἠξίουν ἐν ὑπηκόων, ἀντὶ κοινῶν, εἶναι μέρει, οὔτε Φλάκκον καὶ Γράκχον ὑπὲρ αὐτῶν πολιτευομένους τοιάδε παθεῖν. ἐπὶ δὲ ἐκείνοις καὶ Λίβιος Δροῦσος δημαρχῶν, ἀνὴρ ἐπιφανέστατος ἐκ γένους, δεηθεῖσι τοῖς Ἰταλιώταις νόμον αὖθις εἰσενεγκεῖν περὶ πολιτείας ὑπέσχετο. τούτου γὰρ δὴ μάλιστα ἐπεθύμουν, ὡς ἐνὶ τῷδε αὐτίκα ἡγεμόνες ἀντὶ ὑπηκόων ἐσόμενοι· ὁ δὲ, τὸν δῆμον ἐς τοῦτο προθεραπεύων, ὑπήγετο ἀποικίαις πολλαῖς ἔς τε τὴν Ἰταλίαν καὶ Σικελίαν, ἐψηφισμέναις μὲν ἐκ πολλοῦ, γεγονυίαις δὲ οὔπω· τήν τε βουλὴν καὶ τοὺς ἱππέας, οἳ μάλιστα δὴ τότε ἀλλήλοις διὰ τὰ δικαστήρια διεφέροντο, ἐπὶ κοινῷ νόμῳ συναγαγεῖν ἐπειρᾶτο· σαφῶς μὲν οὐ δυνάμενος ἐς τὴν βουλὴν ἐπανενεγκεῖν τὰ δικαστήρια, τεχνάζων δ᾽ ἐς ἑκατέρους ὧδε. τῶν βουλευτῶν διὰ τὰς στάσεις τότε ὄντων μόλις ἀμφὶ τῶν τριακοσίων, τοσούσδε ἑτέρους αὐτοῖς ἀπὸ τῶν ἱππέων εἰσηγεῖτο ἀριστίνδην προσκαταλεγῆναι, καὶ ἐκ τῶνδε πάντων ἐς τὸ μέλλον εἶναι τὰ δικαστήρια· εὐθύνας τε ἐπ᾽ αὐτῶν γίνεσθαι δωροδοκίας προσέγραφεν, ἐγκλήματος

ὥστε

ἴσα δὴ καὶ ἀγνοουμένου, διὰ τὸ ἔθος τῆς δωροδοκίας ἀνέδην ἐπιπολαζούσης. ὁ μὲν δὴ τάδε πρὸς ἑκατέρους ἐπενόει· περιῆλθε δὲ ἐς τὸ ἐναντίον αὐτῷ. ἥ τε γὰρ βουλὴ χαλεπῶς ἔφερεν, ἀθρόως αὐτῇ τοσούσδε προσκαταλεγῆναι, καὶ ἐξ ἱππέων ἐς τὸ μέγιστον ἀξίωμα μεταβῆναι· οὐκ ἀδόκητον ἡγουμένη, καὶ βουλευτὰς γενομένους κατὰ σφᾶς ἔτι δυνατώτερον τοῖς προτέροις βουλευταῖς στασιάσειν. οἵ τε ἱππεῖς ὑπώπτευον ὅτι τῇδε τῇ θεραπείᾳ πρὸς τὸ μέλλον ἐς τὴν βουλὴν μόνην τὰ δικαστήρια ἀπὸ τῶν ἱππέων περιφέροιτο· γευσάμενοί τε κερδῶν μεγάλων καὶ ἐξουσίας, οὐκ ἀλύπως τὴν ὑπόνοιαν ἔφερον· τό, τε πλῆθος αὐτῶν ἐν ἀπορίᾳ σφᾶς ἐποίει καὶ ὑποψίᾳ πρὸς ἀλλήλους, τίνες ἀξιώτεροι δοκοῦσιν ἐς τοὺς τριακοσίους καταλεγῆναι· καὶ τοῖς λοιποῖς φθόνος ἐς τοὺς κρείττονας ἐστήκει· ὑπὲρ ἅπαντα δὲ ἠγανάκτουν ἀναφυομένου τοῦ τῆς δωροδοκίας ἐγκλήματος, ὃ τέως ἡγοῦντο καρτερῶς ὑπὲρ αὐτῶν πρόρριζον ἐσβέσθαι. οὕτω μὲν δὴ καὶ οἱ ἱππεῖς καὶ ἡ βουλή, καίπερ ἔχοντες ἀλλήλοις διαφόρως, ἐς τὸ Δρούσου μῖσος συνεφώνουν, καὶ μόνος ὁ δῆμος ἔχαιρε ταῖς ἀποικίαις. οἱ Ἰταλιῶται δ', ὑπὲρ ὧν δὴ καὶ μάλιστα ὁ Δροῦσος ταῦτα ἐτέχναζε, καὶ οἵδε περὶ τῷ νόμῳ τῆς ἀποικίας ἐδεδίεσαν, ὡς τῆς δημοσίας Ῥωμαίων γῆς (ἣν ἀνέμητον οὖσαν ἔτι οἱ μὲν, ἐκ βίας, οἱ δὲ, λανθάνοντες ἐγεώργουν) αὐτίκα σφῶν ἀφαιρεθησομένης, καὶ πολλὰ περὶ τῆς ἰδίας ἐνοχλησόμενοι. Τυρρηνοί τε καὶ Ὀμβρικοὶ ταὐτὰ δειμαίνοντες τοῖς Ἰταλιώταις, καί, ὡς ἐδόκει, πρὸς τῶν

que cauſam dicere cogerentur ſuſpecti de munerum corruptela. quod malum jam inter crimina haberi deſierat: adeo frontem plerique perfricuerant. hæc tentanti res præter opinionem ſucceſſit in contrarium. nam & ſenatus moleſtè ferebat temporis momento tantum numerum equitum cooptari in ordinem ampliſſimum, quos veriſimile erat nova dignitate auctos parum conſenſuros cum veteribus ſenatoribus: & equites verebantur hoc pacto penes ſolum ſenatum fore judicia, ipſis poſthabitis: qui jam deguſtatis lucris non mediocribus unà cum potentia, meritò ſuſpicari cœperant. ad hæc ipſos equites æmulatio ſubiit, quòd haud facilè quiſquam alteri ceſſurus videbatur ut digniori, & prælatum ſecutura erat invidia. ſed nihil æquè reddebat ſollicitos ac revocari largitionum crimen ad tribunalia, quod jam antiquatum videbatur. ita factum eſt ut quamvis malè conveniret ordinibus, conſpirarent tamen in Druſi odium, ſola plebe gaudente coloniis. At ſocii, quorum in gratiam potiſſimùm hæc machinabatur tribunus, & ipſi abhorrebant à lege de coloniis: quòd ceſſante agri publici diviſione, locupletes eum pars vi aperta, pars diſſimulanter poſſiderent, vicinis etiam moleſti ob cupiditatem proferendi terminos. ad Hetruſcos quoque Umbróſque pervenit hujus mali contagium: qui per coſſ. in Urbem

acciti, quaſi ad tollendum Druſum, ſed re vera ut legem incuſarent, palam reclamabant, expectando comitia. quod ubi tribunus intellexit, dum rarò procedens in publicum, domi quotidianos cœtus habet in obſcura quadam porticu, accidit ut veſpere dimiſſurus multitudinem exclamaret ictum ſe: & dicto citius cecidit.in jacentis femore

373 deprehenſus eſt infixus culter ſutorius. ita & Druſus in ſuo magiſtratu interemptus eſt. Ceterùm equites hoc ejus inſtitutum vertendo contra inimicos in calumniarum materiam, autores fuêre Q. Valerio trib. pleb. promulgandi legem de reis faciendis quotquot ſocii populi Rom. viam ad reip. adminiſtrationem affectantibus clámve palámve faviſſent: ſperabant enim mox potentiſſimum quemque objiciendum accuſatoribus, ſe judicaturos de tam invidioſo crimine: ſublatíſque inimicis, majorem poſthac fore ſuam in rep. potentiam. huic rogationi collegis intercedentibus, equites undique ſtrictas ſicas intentando effecerunt ut lex perferetur. quo facto confeſtim illuſtrioribus ſenatorum accuſatores ſubornati ſunt. ex his Beſtia ſua ſponte in exilium abiit, contemptis in jus vocantibus, quòd ſe nollet inimicorum poteſtati credere. poſt eum Cotta comparuit quidem in judicio: ſed luculenta ratione adminiſtratæ reip. reddita, palam invectus in equites, Urbem reliquit non expectatis populi de ſe ſuffragiis. Mummius Achaicus turpiter illuſus ab

Druſi interitus.

Q. Valerius tr. pl.

Lex.

Beſtiæ exilium.

Cottæ.

Mummii Achaici.

ὑπαίτων ἐς τὴν πόλιν ἐπαχθέντες, ἔργῳ μὲν ἐς ἀναίρεσιν Δρούσου, λόγῳ δ᾽ ἐς κατηγορίαν τοῦ νόμου, φανερῶς κατεβόων, καὶ τὴν τῆς δοκιμασίας ἡμέραν ἀνέμενον. ὧν ὁ Δροῦσος αἰσθόμενός τε, καὶ οὐ θαμινὰ προϊὼν, ἀλλ᾽ ἔνδον ἐν περιπάτῳ βραχὺ φῶς ἔχοντι χρηματίζων ἀεὶ, καὶ περὶ ἑσπέραν τὸ πλῆθος ἀποπέμπων, ἐξεβόησεν. ἄφνω, πεπλῆχθαι· καὶ λέγων ἔτι, κατέπεσεν. εὑρέθη δὲ ἐς τὸν μηρὸν αὐτοῦ σκυτοτόμου μαχαίριον ἐμπεπηγμένον. οὕτω μὲν δὴ καὶ Δροῦσος ἀνῄρητο δημαρχῶν· καὶ οἱ ἱππεῖς ἐπίβασιν ἐς συκοφαντίαν τῶν ἐχθρῶν τὸ πολίτευμα αὐτοῦ τιθέμενοι, Κόϊντον Οὐαλέριον δήμαρχον ἔπεισαν εἰσηγήσασθαι, κρίσεις εἶναι κατὰ τῶν τοῖς Ἰταλιώταις ἐπὶ τὰ κοινὰ φανερῶς ἢ κρύφα βοηθούντων· ἐλπίσαντες τοὺς δυνατοὺς ἅπαντας αὐτίκα εἰς ἔγκλημα ἐπίφθονον ὑπάξεσθαι, καὶ δικάσειν μὲν αὐτοὶ, γενομένων δ᾽ ἐκείνων ἐκποδὼν, δυνατώτεροι ἔτι τῆς πόλεως ὑπάρξειν. τὸν μὲν δὴ νόμον ἀπαγορευόντων τῶν ἑτέρων δημάρχων μὴ τίθεσθαι, περιστάντες οἱ ἱππεῖς σὺν ξιφιδίοις γυμνοῖς ἐκύρωσαν· ὡς δ᾽ ἐκεκύρωτο, αὐτίκα τοῖς ἐπιφανεστάτοις τῶν βουλευτῶν ἐπεγράφοντο κατήγοροι· καὶ Οὐϊστίας μὲν οὐχ ὑπακούσας, ἑκὼν ἔφευγεν, ὡς οὐκ ἐκδώσων ἑαυτὸν ἐς χεῖρας ἐχθρῶν· καὶ Κόττας ἐπ᾽ ἐκείνῳ παρῆλθε μὲν ἐς τὸ δικαστήριον, σεμνολογήσας δὲ ὑπὲρ ὧν ἐπεπολίτευτο, καὶ λοιδορησάμενος τοῖς ἱππεῦσι φανερῶς, ἐξῄει τῆς πόλεως καὶ ὅδε πρὸ τῆς ψήφου. Μούμμιος δ᾽ ὁ τὴν Ἑλλάδα ἑλὼν, αἰ-

χρᾶς ἐνεδρευθεὶς ὑπὸ τῶν ἱππέων, ὑποσχομένων αὐτὸν ἀπολύσειν, κατεκρίθη φεύγειν, καὶ ἐν τῇ Δήλῳ διεβίωσεν.

Ἐπιπολάζοντος δ' ἐς πολὺ τοῦ κακοῦ κατὰ τῶν ἀρίστων, ὅ, τε δῆμος ἤχθετο, τοιῶνδε καὶ τοσῶνδε εἰργασμένων ἀνδρῶν ἀθρόως ἀφαιρούμενος· καὶ οἱ Ἰταλοί, τοῦ τε Δρούσου πάθους πυνθανόμενοι, καὶ τῆς ἐς τὴν φυγὴν τούτων προφάσεως, οὐκ ἀνασχετὸν σφίσιν ἔτι ἡγούμενοι τοὺς ὑπὲρ σφῶν πολιτεύοντας τοιάδε πάσχειν, οὐδ' ἄλλην τινὰ μηχανὴν ἐλπίδος ἐς τὴν πολιτείαν ἔτι ὁρῶντες, ἔγνωσαν ἀποστῆναι Ῥωμαίων ἄντικρυς, καὶ πολεμεῖν αὐτοῖς κατὰ κράτος. κρύφα τε διεπρεσβεύοντο συντιθέμενοι περὶ τῶνδε, καὶ ὅμηρα διέπεμπον ἐς πίστιν ἀλλήλοις· ὧν ἐς πολὺ οὐκ ἐπύθοντο Ῥωμαῖοι διὰ τὰς ἐν ἄστει κρίσεις καὶ στάσεις· ὡς δ' ἐπύθοντο, περιέπεμπον ἐς τὰς πόλεις ἀπὸ σφῶν τοὺς ἑκάστοις μάλιστα ἐπιτηδείους ἀφανῶς τὰ γιγνόμενα ἐξετάζειν· καὶ τις ἐκ τούτων μειράκιον ὅμηρον ἰδὼν ἐξ Ἄσκλου πόλεως ἐς ἑτέραν ἀγόμενον, ἐμήνυσε τῷ περὶ τὰ χωρία ἀνθυπάτῳ Σερουϊλίῳ. ἦσαν γὰρ ὡς ἔοικε τότε καὶ τῆς Ἰταλίας ἄρχοντες ἀνθύπατοι κατὰ μέρη· ὃ καὶ Ἀδριανὸς ἄρα μιμούμενος ὕστερον χρόνῳ πολλῷ, τὸν αὐτοκράτορα Ῥωμαίοις ἡγούμενος ἀνεκαίνισε, καὶ μετ' αὐτὸν ἐπέμεινεν ἐς βραχύ. ὁ δὲ Σερουΐλιος θερμότερον ἐσδραμὼν ἐς τὸ Ἄσκλον, καὶ πανηγυρίζουσι τοῖς Ἀσκλαίοις χαλεπῶς ἀπειλῶν ἀνῃρέθη, ὡς ὑπὸ ἤδη πεφωραμένων· ἐπανῃρέθη δ' αὐτῷ καὶ Φοντήϊος, ὃς ἐπρέσβευεν αὐτῷ· καλοῦσι δ' οὕτως τοὺς τοῖς ἡγεμόσι τῶν

judicibus, eum ſe abſoluturos pollicitis, in Delum relegatus eſt, ubi & vitam exegit.

Hoc malo in optimum quemque graſſante, plebs permoleſtè ferebat orbari ſe uno momento tot tantorúmque virorum præſentia· & ſocii, cognito Druſi caſu, & cauſa horum virorum exilii, rem non amplius ferendam rati tam indignis modis tractari patronos ſuos publicos, nec alia via ſe ſpe ſua potituros arbitrati, decreverunt à populo Rom. deficere, eíque bellum inferre totis viribus. itaque per occultas legationes fœdus ineunt, datis ultro citroque obſidibus: quæ res ſerò cognita eſt in Urbe, intenta judiciis atque ſeditionibus. Tandem ubi ſenſère, quos maximè crederent idoneos mittebant circa populos ut rem explorarent tanquam agendo aliud. ex his unus *Copiæ ſociorum & Romanorum.* conſpicatus adoleſcentem Aſculanum, pro obſide ductum in urbem aliam, indicavit Servilio pro 374 conſule agenti in eis regionibus. apparet enim tunc quoque regiones Italiæ diſtributas fuiſſe proconſulibus. quem morem imitatus Adrianus imperator, renovavit poſt ætates aliquot, non *Adrianus imp.* diu duraturum poſt ejus obitum. Servilius properè oppidum ingreſſus, Aſculanóſque, ſolenne patrium celebrantes, minis deterrere conatus, ab eis interficitur, quòd defectionem proditam *Servilii interitus.* intelligerent: ſimúlque Fonteius legatus ipſius interiit. His ſublatis nemini Romano parcitum *Fonteii interitus.*

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

eſt: omnes eodem oppidanorum impetu confoſſi, bona eorum direpta ſunt: itaque aperta jam defectione omnes finitimi arma corripiunt, Marſi, Peligni, Veſtini, Marucini: eos ſequuntur Picentes, Ferentani, Hirpini, Pompeiani, Venuſini, Apuli, Lucani, Samnites, nationes jamdudum inſenſæ Romano nomini: denique quicquid populorum à Liri, qui nunc ut puto Liternus eſt, uſque intimum Adriaticum ſinum occurrit, ſive terreſtri itinere, ſive oram Italiæ circumlegentibus. horum legatis querentibus ſe non admitti ad jus civitatis, quum tamen ipſorum opera & auxilio populus Romanus longè ac latè imperio polleat: ſenatus ſatis ferociter reſpondit, ſi reſipuerint, audituros ſe legationes, aliâs non.

Socii à Romanis deficiunt.

Ita voto fruſtrati bellum parant: habitíſque delectibus conſcribunt peditum equitúmque ad centum millia. nec minores fuere populi Romani copiæ, ad urbanum exercitum annumeratis auxiliis ſociorum qui in fide permanebant. his præerant Sex. Julius Cæſar, & P. Rutulius Lupus, conſules. ambobus enim tam gravis & inteſtini belli imperium decretum eſt, & mœnia cum portis munita cuſtodiis, quòd tum maximè ſua res viciNorúmque agi videretur. & quia mentione ſemel facta novorum inſtitutorum apparebat varias ac

Copiæ ſociorum & Romanorum.

Sextus Julius Cæſar & P. Rutilius Lupus coſſ.

ἐθνῶν ἐκ τῆς βουλῆς ἐπομένους ἐς βοήθειαν. πεσόντων δὲ τῶνδε, οὐδὲ τῶν ἄλλων Ῥωμαίων τις ἦν φειδώ, ἀλλὰ τοὺς παρὰ σφίσι πάντας οἱ Ἀσκλαῖοι συνεκέντουν ἐπιτρέχοντες, καὶ τὰ ὄντα αὐτοῖς διήρπαζον. ἐκραγείσης δὲ τῆς ἀποστάσεως, ἅπαντα ὅσα τοῖς Ἀσκλαίοις ἔθνη γείτονα ἦν, συνεξέφαινε τὴν παρασκευήν, Μάρσοι τε καὶ Μαγλῖνοι καὶ Οὐηστῖνοι καὶ Μαῤῥουκῖνοι, καὶ ἐπὶ τούτοις Πικεντῖνοι καὶ Φερεντανοὶ καὶ Ἱρπῖνοι καὶ Πομπηϊανοὶ καὶ Οὐενούσιοι καὶ Ἰάπυγες, Λευκανοί τε καὶ Σαμνῖται, χαλεπὰ Ῥωμαίοις καὶ πρὶν ἔθνη γενόμενα· ὅση τε ἄλλη ἀπὸ Λίριος ποταμοῦ, ὃν νῦν μοι δοκοῦσι Λίτερνον ἡγεῖσθαι, ὃς ἐπὶ τὸν μυχόν ἐστι τοῦ Ἰονίου κόλπου πεζεύοντι καὶ περιπλέοντι. πέμψασι δ' αὐτοῖς ἐς Ῥώμην πρέσβεις αἰτιωμένους ὅτι πάντα Ῥωμαίοις εἰς τὴν ἀρχὴν συνεργασάμενοι, οὐκ ἀξιοῦνται τῆς τῶν βεβοηθημένων πολιτείας, ἡ βουλὴ μάλα καρτερῶς ἀπεκρίνατο, εἰ μεταγινώσκουσι τῶν γεγονότων, πρεσβεύειν ἐς αὐτήν, ἄλλως δὲ μή.

Οἱ μὲν δή, πάντα ἀπογνόντες, ἐς παρασκευὴν καθίσταντο, καὶ αὐτοῖς ἐπὶ τοῦ κατὰ πόλιν στρατοῦ κοινὸς ἦν ἱππέων τε καὶ πεζῶν ἑτέρους ἐς δέκα μυριάδας· καὶ Ῥωμαῖοι τὸ ἴσον αὐτοῖς ἀντεξέπεμπον, ἀπό τε σφῶν αὐτῶν καὶ τῶν ἔτι συμμαχούντων σφίσιν ἐθνῶν τῆς Ἰταλίας. ἡγοῦντο δὲ Ῥωμαίων μὲν ὕπατοι Σέξτος τε Ἰούλιος Καῖσαρ, καὶ Πόπλιος Ῥουτίλιος Λοῦπος· ἄμφω γὰρ ὡς ἐς μέγαν δὴ καὶ ἐγχώριον πόλεμον ἐξῄεσαν, ἐπεὶ καὶ τὰς πύλας οἱ ὑπόλοιποι καὶ τὰ τείχη διὰ χειρὸς εἶχον, ὡς ἐπ' οἰκείῳ καὶ γείτονι μάλιστα ἔργῳ. τό, τε ποικίλον περὶ τοῦ νόμου καὶ πολυ-

πολυμερὲς ἐνθυμούμενοι, ὑποστρατήγους τοῖς ὑπάτοις συνέπεμψαν τοὺς τότε ἀρίστους, ὑπὸ μὲν Ῥουτιλίῳ Γναῖόν τε Πομπήϊον, τὸν πατέρα Πομπηΐου τοῦ Μάγνου παρονομασθέντος, καὶ Κοΐντον Κεπίωνα, καὶ Γαΐον Περπένναν, καὶ Γαΐον Μάριον, καὶ Οὐαλέριον Μεσσάλαν· ὑπὸ δὲ Σέξτῳ Καίσαρι Πόπλιον Λέντλον, ἀδελφὸν αὐτοῦ Καίσαρος, καὶ Τίτον Δίδιον, καὶ Λικίνιον Κράσσον, καὶ Κορνήλιον Σύλλαν, καὶ Μάρκελλον ἐπὶ τοῖσδε. τοσοῖδε μὲν δὴ τοῖς ὑπάτοις διελόμενοι τὴν χώραν ὑπεστρατήγουν, καὶ πάντες ἐπορεύοντο. οἱ ὕπατοι, καὶ αὐτοῖς οἱ Ῥωμαῖοι καὶ ἑτέρους ὡς ἐς μέγαν ἀγῶνα ἔπεμπον ἑκάστοτε. Ἰταλοῖς δ' ἦσαν μὲν στρατηγοὶ κατὰ πόλεις ἕτεροι, κοινοὶ δ' ἐπὶ τῷ κοινῷ στρατῷ καὶ τοῦ παντὸς αὐτοκράτορες Τίτος Ἀφράνιος, καὶ Γάϊος Ῥουτίλιος, καὶ Μάριος Ἰγνάτιος, καὶ Κόϊντος Πομπαίδιος, καὶ Γάϊος Πάπιος, καὶ Μάρκος Λαμπώνιος, καὶ Γάϊος Ἰουδάκιλιος, καὶ Ἔριος Ἀσίνιος, καὶ Οὐέτιος Κάτων· οἱ τὸν στρατὸν ὁμοίως μερισάμενοι, τοῖς Ῥωμαίων στρατηγοῖς ἀντεκαθέζοντο, καὶ πολλὰ μὲν ἔδρασαν, πολλὰ δ' ἔπαθον. ὧν ἑκατέρων, ἐν κεφαλαίῳ φράσαι, τὰ ἀξιολογώτατα ἦν τοιάδε. Οὐέτιος μὲν Κάτων Σέξτον Ἰούλιον τρεψάμενός τε καὶ δισχιλίους κτείνας, ἐπὶ Ἀσερνίαν ἤλασε, Ῥωμαΐζουσαν καὶ αὐτήν· οἱ μὲν συμπίπτοντες, Λεύκιός τε Σκιπίων, καὶ Λεύκιος Ἀκίλλιος, θεραπόντων ἐσθῆτας ὑποδύντες, ἀπέδρασαν, χρόνῳ δὲ καὶ λιμῷ παρεστήσαντο οἱ πολέμιοι. Μάριος δὲ Ἰγνάτιος Οὐένεφρον ἑλὼν ἐκ προδοσίας, ἔκτεινε δύο Ῥωμαίων σπείρας ἐν αὐτῇ. Πρησεντεῖος δὲ Πόπλιος Περπένναν μυρίων ἀνδρῶν ἡγούμενον ἐτρέψατο, καὶ ἔκτεινεν ἐς τετρακισχιλίους, καὶ τῶν λοιπῶν τῶν πλειόνων

multiplices eſſe voluntates hominum, legati conſulibus additi ſunt, viri ejus ætatis ſpectatiſſimi, Rutilio Cn. Pompeius, Magni pater, Q. Cepio, C. Perpenna, C. Marius, Valerius Meſſala: Sex. Cæſari, P. Lentulus, ipſius germanus, T. Didius, Licinius Craſſus, Cornelius Sylla, M. Marcellus. Singulis attributæ ſunt ſuæ provinciæ: omnes proconſulari poteſtate ornati: &, ut in arduo certamine, interdum ſupplementa ſummiſſa ſunt. Sociis verò præter minores duces oppidatim lectos, cum imperio præerant T. Afranius, P. Ventidius, Marius Egnatius, Q. Popedius, C. Papius, M. Lamponius, C. Judacilius, Hirius Aſinius, Vetius Cato: qui pariter copias inter ſe partiti, opponebant ſe ducibus Romanis non ſine mutuis cladibus. Fuerunt autem, ut compendio dicam, hæ: Vetius Cato, Sex. Julium cæſis M M. in Eſerniam compulit, quæ tum perſtabat in fide Romani populi. L. Scipio & L. Acilius inde ſervorum habitu elapſi ſunt, reliqui fame coacti tandem deditionem fecerunt. Venafro verò per proditionem capto Marius Egnatius duas Romanas cohortes ibi concidit. P. Preſenteius Perpennam cum X. M. obviam ſibi factum fugavit, cæſiſque ad quater mille, reli- 375

quorum

Duces Romanorum.

Duces ſociorum.

Sociorum & Romanorum bellum.

L. Scipio & L. Acilius ſervorum habitu elapſi.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

quorum armis majore ex parte potitus. quamobrem Rutilius coſ. adempto Perpennæ imperio, reliquias ejus exercitus attribuit C. Mario. M. Lamponius, Licinium Craſſum aggreſſus, octingentos ex ejus militibus proſtravit, reliquos in Grumentum compulit. C. Papius, Nola per proditionem occupata, Romanorum duobus millibus qui in præſidio erant, per caduceatorem ad ſe tranſeundi poteſtatem obtulit: illi conditionem acceperunt, exceptis ducibus, quos comprehenſos victor necavit inedia. Idem Stabias, Min-
376 turnas, Salernúmque, Romanam coloniam, cepit, captorum oppidorum cives unà cum ſervis aſcripſit in militum ſuorum numerum. pervaſtato deinde omni circum Nuceriam agro, finitima oppida ſimilis injuriæ metu ad eum deſciverunt, & petenti, auxilium miſerunt, decem peditum millia, equites mille: quibus auctus Papius Acerras obſedit. Tum Sex. Cæſar accitis Gallorum peditum decem millibus, & Numidarum equitatu, caſtra prope illum poſuit: Papius verò Oxintam, Jugurthæ, regis quondam Numidarum, filium, è Venuſina in qua tum aſſervabatur cuſtodia eductum, ornatúmque purpura oſtentabat ejus popularibus ſub Cæſare militantibus. quúmque crebra eorum, ut ad proprium regem, fierent transfugia, conſul ceteros, ut ſuſpectos, remiſit in Africam.

Oxinthas Jugurthæ filius.

μέρους τὰ ὅπλα ἔλαβε· ἐφ' ὅτῳ Περπένναν Ῥουτίλιος ὕπατος παρέλυσε τῆς στρατηγίας, καὶ τὸ μέρος τοῦ στρατοῦ Γαΐῳ Μαρίῳ προσέθηκε. Μάρκος δὲ Λαμπώνιος τῶν ἀμφὶ Λικίνιον Κράσσον ἀνεῖλεν ἐς ὀκτακοσίους, καὶ τοὺς λοιποὺς ἐς Τρούμεντον πόλιν ἐξεδίωξε. Γάϊος δὲ Πάπιος Νῶλάν τε εἷλεν ἐκ προδοσίας, καὶ τοῖς ἐν αὐτῇ Ῥωμαίοις δισχιλίοις οὖσιν ἐκήρυξεν, εἰ μετατίθεντο στρατεύσειν ἑαυτῷ, καὶ τούσδε μὲν ὁ Πάπιος μεταθεμένους ἐστράτευσεν. οἱ δ' ἡγεμόνες αὐτῶν, οὐχ ὑπακούσαντες τῷ κηρύγματι, ἐλήφθησαν αἰχμάλωτοι, καὶ λιμῷ πρὸς τοῦ Παπίου διεφθάρησαν. Πάπιος δὲ καὶ Σταβίας εἷλε, καὶ Μίντερνον, καὶ Σάλερνον, ἣ Ῥωμαίων ἄποικος ἦν, καὶ τοὺς ἐξ αὐτῶν αἰχμαλώτους τε καὶ δούλους ἐστράτευεν. ὡς δὴ καὶ Νουκερίας τὰ ἐν κύκλῳ πάντα κατέπρησεν· αἱ καὶ πλησίον αὐτῶν πόλεις καταπλαγεῖσαι, προσετίθεντο, στρατιάν τε αἰτοῦντι παρέχον ἐς μυρίους πεζούς, καὶ ἱππέας χιλίους. μεθ' ὧν ὁ Πάπιος Ἀχέρραις παρεκάθητο. Σέξτου δὲ Καίσαρος Γαλατῶν πεζοὺς μυρίους, καὶ Νομάδας Μαυρουσίους ἱππέας πεζοὺς προσλαβόντος τε καὶ χωροῦντος ἐπὶ τὰς Ἀχέρρας, ὁ Πάπιος Ὀξύνταν, υἱὸν Ἰογόρθου τοῦ Νομάδων ποτὲ βασιλέως ὑπὸ Ῥωμαίων ἐν Οὐενουσίᾳ φυλαττόμενον, ἤγαγεν ἐκ τῆς Οὐενουσίας· καὶ περιθεὶς αὐτῷ πορφύραν βασιλικήν, ἐπεδείκνυ θαμινὰ τοῖς Νομάσι τοῖς σὺν Καίσαρι· πολλῶν δ' ὡς πρὸς ἴδιον βασιλέα αὐτομολούντων ἀθρόως, τοὺς μὲν λοιποὺς τῶν Νομάδων ὡς ὑπόπτους ὁ Καῖσαρ ἐς Λιβύην ἀπέπεμψε.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

Παπίου δὲ πελάσαντος αὐτῷ σὺν καταφρονήσει, καὶ μέρος ἤδη τοῦ χάρακος διασπῶντος, τοὺς ἱππέας ἐκπέμψας κατ' ἄλλας πύλας, ἔκτεινε τοῦ Παπίου περὶ ἑξακισχιλίους. καὶ ἐπὶ τῷδε Καῖσαρ μὲν ἐξ Ἀχερρῶν ἀνεζεύγνυεν· Ἰουδακιλίῳ δ' ἐν Ἰαπυγίᾳ προσετίθεντο Κανύσιοι καὶ Οὐενούσιοι, καὶ ἕτεραι πόλεις πολλαί· τινὰς δὲ καὶ ἀπειθούσας ἐξεπολιόρκει, καὶ τῶν ἐν αὐταῖς Ῥωμαίων τοὺς μὲν ἐπιφανεῖς ἔκτεινε, τοὺς δὲ δημότας καὶ δούλους ἐστράτευσε. Ῥουτίλιος δὲ ὁ ὕπατος, καὶ Γάϊος Μάριος ἐπὶ τοῦ Λίριος ποταμοῦ γεφύρας ἐς διάβασιν ἐξ οὐ πολλοῦ διαστήματος ἀπ' ἀλλήλων ἐπήγνυντο, καὶ Οὐέττιος Κάτων αὐτοῖς ἀντεστρατοπέδευε, παρὰ τὴν Μαρίου μάλιστα γέφυραν, ἔλαθέ τε νυκτὸς περὶ τὴν Ῥουτιλίου γέφυραν λόχους ἐν φάραγξιν ἐνεδρεύσας. ἅμα δ' ἕῳ τὸν Ῥουτίλιον διελθεῖν ὑπερελθών, ἀνέστησε τὰς ἐνέδρας, καὶ πολλοὺς μὲν ἔκτεινεν ἐπὶ τοῦ ξηροῦ, πολλοὺς δ' ἐς τὸν πόντον κατῶσεν, ὅ, τε Ῥουτίλιος αὐτὸς ἐν τῷδε τῷ πόνῳ βέλει τρωθεὶς ἐν τῇ κεφαλῇ, μετ' ὀλίγον ἀπέθανε. καὶ Μάριος, ἐπὶ τῆς ἑτέρας ὢν γεφύρας, τὸ συμβὰν ἐκ τῶν φερομένων κατὰ τὸ ῥεῦμα σωμάτων εἰκάσας, τοὺς ἐν ποσὶν ὤσατο, καὶ τὸ ῥεῦμα περάσας, τὸν χάρακα τοῦ Κάτωνος ὑπ' ὀλίγων φυλαττόμενον εἷλεν· ὥστε τὸν Κάτωνα νυκτερεῦσαί τε ἔνθαπερ ἐνίκησε, καὶ ἀπορούντα ἀγορᾶς ἀναζεῦξαι περὶ τὴν ἕω. Ῥουτιλίου δὲ τοῦ σώματος καὶ πολλῶν ἄλλων ἐπιφανῶν ἐπὶ ταφὴν ἐς Ῥώμην ἐνεχθέντων, ἥ τε ὄψις ἀηδὴς ἦν ὑπάτου καὶ τοσῶνδε ἄλλων

Poſt hæc quum Papius temerè auſus eſſet oppugnare caſtra conſulis, jámque partem valli convelleret, emiſſo per averſam portam equitatu cæſa ſunt circiter ſex millia hoſtium. poſt quam victoriam conſul inde abduxit exercitum: ad Judacilium autem in Apulia Canuſini unà cum Venuſinis defecerunt, & multi alii populi. quoſdam abnuentes imperata facere vi expugnavit: deprehenſóſque in his Romanos nobiliores necavit, plebeios verò & ſervos militibus ſuis immiſcuit. Alter autem coſ. Rutilius, unà cum C. Mario duos non longè inter ſe diſtantes pontes ſuper Lirim conſtruunt, ad trajiciendas copias: quibus Vetius Cato cum exercitu ſuo ſe oppoſuit, propius pontem Marii, diſpoſitis noctu circa Rutilii pontem in valle quadam inſidiis: eum diluculo trajicere paſſus aggreditur: cæsíſque multis, multos in fluvium egit præcipites. Coſ. ipſe in hac pugna ſaucius caput, paulo pòſt ex eo vulnere eſt mortuus. At Marius ad alterum pontem hærens, ubi caſum hunc intellexit ex cadaveribus delatis prono fluvio, properè trajectis quos ſecum habebat, caſtra hoſtium à paucis cuſtodita expugnavit: quo factum eſt ut Cato pernoctarit eo loco ubi vicerat, & penuria commeatus mane coactus ſit inde diſcedere. Conſulis autem cadavere & aliorum nobilium non paucorum ad ſepulturam in urbem relato, triſtis viſa eſt populo ejus pompæ facies,

Papii clades.

Canuſini. Venuſini.

Rutilii clades.

Rutilii interitus.

377

cies, & diuturnus luctus exitus eſt tot civium deſiderio. quapropter S. C. decretum fuit, ut poſthac defunctorum in bello corpora ibi humarentur ubicunque cecidiſſent, ne ob eorum conſpectum reliqui ſegniores ad militiam fierent. id decretum mox cognitum & hoſtes imitati ſunt. In reliquum anni nemo in magiſtratu ſucceſſit Rutilio, quòd Cæſari non vacaret in urbem reverti ad comitia. exercitum ejus ſenatus commiſit C. Mario & Q. Cepioni. Ad hunc Cepionem Q. Popedius, hoſtium dux, transfugere ſe ſimulans adduxit pro obſidibus duos ſervos pueros, more ingenuorum prætextatos: &, quo magis fidem impetraret, plumbi maſſas auro argentóque circumlitas attulit: ſimulque hortatus eſt ut ſe duce confeſtim aggrederetur hoſtilem exercitum, dum nullo regitur imperio. ita deceptum hominem præcedebat. ut verò ventum eſt ad locum præſtitutum inſidiis, ipſe in tumulum quendam curſu contendit, quaſi circumſpecturus ubinam hoſtes eſſent: quo facto ſignum ſuis extulit: illi provolantes, Cepionem interficiunt cum multis aliis. reliquum ejus exercitus ſenatus adjunxit ad Marii copias. Per idem tempus Sex. Cæſar peditum triginta millia, equitum quinque, deducens per fauces quaſdam præruptas, & ex improviſo irruente Mario Egnatio, in vallem compulſus, lectica propter morbum delatus eſt

Senatusconſultum.

Rutilii copiæ C. Mario & Cepioni datæ.

Popedius Cepionem prodit.

Cepionis interitus.

ἀνῃρημένων, καὶ πολυήμερον ἐπὶ τῷδε πένθος ἠγέρθη. καὶ ἀπὸ τοῦδε ἡ βουλὴ, τοὺς ἀποθνήσκοντας ἐν τοῖς πολέμοις ἔκρινεν, ἔνθαπερ ἂν ὦσι, θάπτεσθαι, τοῦ μὴ τοὺς λοιποὺς ἐκ τῆς ὄψεως ἀποτρέπεσθαι τῶν στρατιωτῶν. τὸ δ᾽ αὐτὸ καὶ οἱ πολέμιοι πυθόμενοι περὶ σφῶν ἐψηφίσαντο. Ῥουτιλίῳ μὲν δὴ διάδοχος ἐπὶ τὸ λοιπὸν τοῦ ἔτους οὐκ ἐγένετο, Σέξτου Καίσαρος οὐκ ἀγαγόντος σχολὴν διαδραμεῖν ἐπὶ ἀρχαιρέσια ἐς Ῥώμην· τὰς δ᾽ ὑπ᾽ αὐτῷ στρατιὰς ἡ βουλὴ προσέταξεν ἄρχειν Γαϊόν τε Μάριον, καὶ Κόϊντον Κεπίωνα. τούτῳ τῷ Κεπίωνι Κόϊντος Πομπαίδιος ὁ ἀντιστράτηγος, οἷά τις αὐτόμολος, προσέφυγεν, ἄγων καὶ διδοὺς ἐνέχυρον δύο βρέφη δοῦλα, καθάπερ υἱεῖς, ἐσκευασμένα ἐσθῆσι περιπορφύροις. ἐς δὲ πίστιν ἔφερε καὶ μάζας ἐκ μολίβδου, χρυσῷ καὶ ἀργύρῳ περιβεβλημένας· καὶ ἐδεῖτο κατὰ σπουδὴν αὐτῷ τὸν Κεπίωνα ἕπεσθαι μετὰ τῆς στρατιᾶς, ὡς καταληψόμενον αὐτοῦ τὸ στρατόπεδον ἔρημον ἔτι ἄρχοντος. Κεπίων μὲν δὴ πυθόμενος εἵπετο, Πομπαίδιος δὲ πλησίον τῆς ἐσκευασμένης ἐνέδρας γενόμενος, ἀνέδραμεν ἐς τινὰ λόφον ὡς κατοψόμενος τοὺς πολεμίους, καὶ σημεῖον αὐτοῖς ἐπῆρεν· οἱ δὲ, ἐκφανέντες, αὐτόν τε Κεπίωνα καὶ πολλοὺς σὺν αὐτῷ κατέκοψαν· καὶ τὸ λοιπὸν τῆς στρατιᾶς Κεπίωνος ἡ σύγκλητος Μαρίῳ προσέζευξε. Σέξτος δὲ καὶ Καῖσαρ μετὰ τρισμυρίων πεζῶν καὶ ἱππέων πεντακισχιλίων διεξιὼν τινὰ φάραγγα καὶ κρημνοὺς, ἄφνω προσπεσόντος αὐτῷ Μαρίου Ἰγνατίου, ἐς τὴν φάραγγα περιωσθεὶς, ἔφυγεν ἐπὶ κλίνης, διὰ νόσον, ἐπὶ τινὰ πο-

ταμὸν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

ταμὸν οὐ μία γέφυρα ἦν. καὶ ἐνταῦθα τὸ πλέον τῆς στρατιᾶς ἀπολέσας καὶ τῶν ὑπολοίπων τὰ ὅπλα, μόλις ἐς Τεανὸν καταφυγὼν, ὥπλιζεν οὓς ἔτι εἶχεν, ὡς ἐδύνατο· ἑτέρου δὲ πλήθους αὐτῷ κατὰ σπουδὴν ἐπελθόντος, ἐπὶ Ἀχέῤῥας ἔτι πολιορκουμένας ὑπὸ τοῦ Παπίου μετῄει. καὶ οἵδε μὲν ἀλλήλοις ἀντιστρατοπεδεύοντες οὐκ ἐπεχείρουν οὐδέτερος οὐδετέρῳ διὰ φόβον. Μάρσους δὲ Κορνήλιος Σύλλας καὶ Γάϊος Μάριος ἐπιθεμένους σφίσι, συντόνως ἐδίωκον μέχρι θριγκοῖς ἀμπέλων ἐμπεσεῖν αὐτούς· καὶ Μάρσοι μὲν τοὺς θριγκοὺς κακοπαθῶς ὑπερέβαινον, Μαρίῳ δὲ καὶ Σύλλᾳ διώκειν ὑπὲρ τούτου οὐκ ἔδοξε. Κορνήλιος δὲ Σύλλας ἐπὶ θάτερα τῶνδε τῶν ἀμπέλων στρατοπεδεύων αἰσθόμενος τοῦ γεγονότος, ὑπήντα τοῖς ἐκφεύγουσι τῶν Μάρσων. καὶ πολλοὺς καὶ ὅδε ἀπέκτεινεν· ὡς τὸν φόνον ἐκείνης τῆς ἡμέρας γενέσθαι πλείους ἑξακισχιλίων, ὅπλα δ' ὑπὸ Ῥωμαίων ληφθῆναι πολὺ πλείονα. Μάρσοι μὲν δή, δίκην θηρίων, τῷ πταίσματι προσαγανακτοῦντες, αὖθις ὡπλίζοντο καὶ παρεκελεύοντο αὐτοῖς ἐπιέναι προσεπιχειρεῖν μὴ θαρροῦσι, μηδὲ ἀρχὴν μάχης· ἔστι γὰρ τὸ ἔθνος πολεμικώτατον· καὶ φασὶ κατ' αὐτοῦ θρίαμβον ἐπὶ τῷδε τῷ πταίσματι γενέσθαι μόνῳ, λεγόμενον πρότερον, οὔτε κατὰ Μάρσων οὔτε ἄνευ Μάρσων γενέσθαι θρίαμβον. περὶ δὲ τὸ Φάλερνον ὄρος, Γνάϊον Πομπήϊον Ἰουδακίλιος, καὶ Τίτος Ἀφράνιος, καὶ Πόπλιος Οὐεντίδιος ἐς ταυτὸν συνελθόντες ἀλλήλοις, ἐτρέποντο καὶ κατεδίωκον ἐς πόλιν Φίρμον. καὶ οἱ μὲν αὐτῶν ἐφ' ἕτερα ᾤχοντο· Ἀφράνιος δὲ παρεκάθητο Πομπηΐῳ ἐς τὸ Φίρμον κατακεκλεισμένῳ. ὁ δ' αὐτίκα μὲν ὁπλίζων

ad fluvium quendam unico ponte pervium : ubi majore parte exercitus amiſſa, reliquis paſſim arma projicientibus ægrè ſe recepit intra Teani mœnia: ibíque ſuos armavit ut potuit: acceptóque ſupplemento, properavit ad Acerras defendendas ab oppu- *Acerræ.*
gnatione Papii. ita collatis caſtris 378
neuter alterum auſus eſt laceſſere. At C. Marius Marſos ſe adortos egregiè repulit, uſque ad ſepes vinetorum perſequutus: quas hoſte ægrè tranſcendente, Romanis non libuit urgere amplius. Sylla verò qui ex altero vinetorum latere caſtra habebat, fugientibus occurrens, & ipſe multos interfecit, ut ea die deſiderati ſint ex Marſis ſupra ſex millia: *Marſorum clades.* armorum numerus multo major venit in poteſtatem victoris. ea clade magis etiam efferati ſunt hoſtium animi, reparatíſque viribus Romanum metu ceſſantem ultro laceſſere auſi ſunt. eſt enim gens hæc pugnaciſſima. Ferunt nunquam aliàs de his triumphum viſum. nam ad id temporis nec ſine Marſis nec de Marſis triumphatum fuerat. Parte alia circa Falerinum montem Judacilius & T. Afranius & P. Ventidius conjunctis copiis exercitum Cn. Pompeii fuſum fugatúmque intra Firmum compellunt. ad cujus obſidionem Afranio relicto, alii duo in diverſum abeunt. Pompeius his qui cladi ſupererant armatis denuo, à

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

pugnando abſtinuit. adventante autem alio exercitu, Sulpitium per devia miſſum juſſit Afranii terga invadere, ipſe à fronte eum adortus eſt. quúmque dubio Marte certaretur, Sulpitius incendit caſtra hoſtium: quo viſo ille ſine ordine, ſine imperio trepidè receperunt ſe intra Aſculum:

Afranii interitus.

Afranius fortiter pugnando cecidit. Pompeius oppidi oppugnationem inſtituit. Aſculanus erat Judacilius: quapropter timens patriæ, cum octo cohortibus ſuccurrit: ſimúlque per nuntios, Aſculanos præmonuit, eruptionem facerent in obſeſſores, quamprimùm procul advenientem ipſum conſpicerent, ut hoſtis cogeretur ancipiti pugnare prælio. ſed oppidani per ſegnitiem nihil moverunt.

Judacilius.

Judacilius nihilominus per medios hoſtes penetravit intra mœnia, ſequentibus quotquot poterant: & exprobravit eis timiditatem atque inobedientiam.

379

Ceterùm deſperata incolumitate civium, primùm inimicos, tum ob priſtinam ſimultatem, tum ob recentem culpam, quòd mandata ipſius aſpernati ceteris ejuſdem contumaciæ fuiſſent autores, contrucidavit, mox in templo rogum extruxit, eíque lectum impoſuit: & cum amicis epulatus, poſt prolixam compotationem venenum hauſit: quo facto decubuit, hortatus amicos ut faces ſubderent. atque ita vitam finiit, ne ſuperſtes eſſet patriæ.

Ejus interitus.

Sex. Cæſari ſenatus in ſequentem annum prorogavit cum conſula-

τοὺς ὑπολοίπους, ἐς χεῖρας οὐκ ἦλθε· προσελθόντος δὲ ἑτέρου στρατοῦ, Σουλπίκιον περιέπεμπεν ὀπίσω τοῦ Ἀφρανίου γενέσθαι. καὶ αὐτὸς κατὰ μέτωπον ἐπῄει· γινομένης δ' ἐν χερσὶ τῆς μάχης, καὶ πονουμένοιν ἀμφοῖν, ὁ Σουλπίκιος ἐνεπίμπρη τὸ τῶν πολεμίων στρατόπεδον, καὶ τοῦθ' οἱ πολέμιοι κατιδόντες, ἐς Ἄσκλον ἔφευγον, ἀκόσμως ἅμα καὶ ἀστρατηγήτως· Ἀφράνιος δὲ ἐπεπτώκει μαχόμενος. Πομπήϊος δὲ καὶ τὸ Ἄσκλον ἐπελθὼν ἐπολιόρκει. πατρὶς δ' ἦν Ἰουδακιλίου τὸ Ἄσκλον, καὶ δεδιὼς ὑπὲρ αὐτῆς ἠπείγετο, σπείρας ἄγων ὀκτώ. προπέμψας δὲ τοῖς Ἀσκλαίοις, ἐκέλευεν, ὅταν αὐτὸν ἴδωσι πόῤῥωθεν ἐπιόντα, ἐκδραμεῖν ἐπὶ τοὺς περικαθημένους, ὡς τὸν ἀγῶνα τοῖς ἐχθροῖς ἑκατέρωθεν γενέσθαι. ἀλλὰ Ἀσκλαῖοι μὲν ἀπώκνησαν. ὁ δὲ Ἰουδακίλιος καὶ ὣς ἐς τὴν πόλιν διὰ μέσων τῶν πολεμίων ἐσδραμὼν μεθ' ὅσων ἐδυνήθη, ὠνείδισε μὲν αὐτοῖς ἀτολμίαν καὶ δυσπείθειαν· οὐκ ἐλπίζων δ' ἔτι τὴν πόλιν περιέσεσθαι, τοὺς μὲν ἐχθροὺς, οἳ τέως αὐτῷ διεφέροντο καὶ τότε διὰ * νοντο πλῆθος εἰς ἃ παρήγγελεν ἀπέτρεψαν, ἔκτεινε πάντας· ἐν δὲ ἱερῷ πυρὰν νήσας καὶ κλίνην ἐπιθεὶς ἐπὶ τῇ πυρᾷ, παρευωχήθη σὺν τοῖς φίλοις, καὶ προϊόντος τοῦ πότου φάρμακόν τε προσενέγκατο, καὶ κατακλίνας αὐτὸν ἐπὶ τῆς πυρᾶς, ἐκέλευσε τοῖς φίλοις ἅψαι τὸ πῦρ. καὶ Ἰουδακίλιος μὲν ὧδε φιλοτιμηθεὶς περὶ τῆς πατρίδος ἀποθανεῖν, κατελύθη. Σέξτος δὲ Καῖσαρ, ἐξήκοντος αὐτῷ τοῦ χρόνου τῆς ἀρχῆς, ἀνθύπατος ὑπὸ τῆς βουλῆς αἱρεθεὶς, ἐπέ-

δραμὼν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

δραμὼν ἀνδράσι δισμυρίοις μεταστρατοπεδεύουσί ποι, καὶ ἔκτεινεν αὐτῶν ἐς ὀκτακισχιλίους, ὅπλα τε πολὺ πλειόνων ἔλαβε· χρονίου δ' αὐτῷ τῆς περὶ τὸ Ἄσκλον οὔσης χειροτονίας, ἀποθνήσκων ἐκ νόσου, ἀντιστράτηγον ἀπέφηνε Γάϊον Βέβαιον.

Καὶ τάδε μὲν ἀμφὶ τὴν Ἰταλίαν τὴν περὶ τὸν Ἰόνιον· αἰσθόμενοι δ' αὐτῶν οἱ ἐπὶ θάτερα τῆς Ῥώμης Τυῤῥηνοὶ καὶ Ὀμβρικοὶ, καὶ ἄλλα τινὰ αὐτοῖς ἔθνη γειτονεύοντα, πάντες ἐς ἀπόστασιν ἠρεθίζοντο. δείσασα οὖν ἡ βουλὴ μὴ ἐν κύκλῳ γενόμενος αὐτοῖς ὁ πόλεμος ἀφύλακτος ᾖ, τὴν μὲν θάλασσαν ἐφρούρει τὴν ἀπὸ Κύμης ἐπὶ τὸ ἄστυ δι' ἀπελευθέρων, τότε πρῶτον ἐς στρατείαν δι' ἀπορίαν ἀνδρῶν καταλεγέντων· Ἰταλιωτῶν δὲ τοὺς ἔτι ἐν τῇ συμμαχίᾳ παραμένοντας ἐψηφίσατο εἶναι πολίτας· οὗ δὴ μάλιστα μόνου πάντες ἐπεθύμουν. καὶ τάδε ἐς Τυῤῥηνοὺς περιέπεμπεν· οἱ δὲ ἄσμενοι τῆς πολιτείας μετελάμβανον· καὶ τῇδε τῇ χάριτι ἡ βουλὴ τοὺς μὲν εὔνους εὐνουστέρους ἐποίησε, τοὺς δὲ ἐνδοιάζοντας ἐβεβαιώσατο· τοὺς δὲ πολεμοῦντας, ἐλπίδι τινὶ τῶν ὁμοίων πρᾳοτέρους ἐποίησε. Ῥωμαῖοι μὲν δὴ τούσδε τοὺς νεοπολίτας, οὐκ ἐς τὰς πέντε καὶ τριάκοντα φυλὰς, αἳ τότε ἦσαν αὐτοῖς, κατέλεξαν (ἵνα μὴ τῶν ἀρχαίων πλέονες ὄντες ἐν ταῖς χειροτονίαις ἐπικρατοῖεν) ἀλλὰ δεκατεύοντες ἀπέφηναν ἑτέρας, ἐν αἷς ἐχειροτόνουν ἔσχατοι. καὶ πολλάκις αὐτῶν ἡ ψῆφος ἀχρεῖος ἦν, ἅτε τῶν πέντε καὶ τριάκοντα προτέρων τε καλουμένων καὶ οὐσῶν ὑπὲρ ἥμισυ. ὅπερ ἢ λαθὸν αὐτίκα, ἢ καὶ ὡς αὐτῷ

ri poteſtate imperium. is jam proconſul, circiter XX. M. hoſtium dum caſtra movent aggreſſus, ſtravit ex eis octo millia: ſcutorum longè major numerus relatus eſt. Sed dum circa Aſculum diutius hærere cogitur, morbo ſuperatus ſucceſſorem ſibi optavit C. Bebium.

Dum hæc ad mare ſuperum geruntur, diverſa parte Hetruſci Umbríque unà cum aliis quibuſdam finitimis ad defectionem ſpectabant, invitati ſucceſſu partium. Quo novo metu accedente, ſenatus ne circumquaque hoſtibus cingeretur ſolicitus, littoribus quæ Cumas inter & Urbem ſita ſunt, impoſuit præſidia: tum primùm libertis ob virorum inopiam admiſſis in militiam: ſociis verò qui etiam tum in officio manerent, decrevit jus civium: quod præcipuè concupitum erat omnibus. & decretum id dimiſit circa Hetruriæ populos, excipientes avidiſſimè. eo beneficio & amicos devinxit amplius, & dubios in fide retinuit, & hoſtem ſimilia ſperantem mitiorem reddidit. hos novellos cives populi Rom. non in XXXV. tribus, quot tunc erant, diſtribuit, ne veteres in ſuffragiis vincerentur numero, ſed redactis eis in decurias, novas alias tribus conſcripſit in quibus illi poſtremi ferrent ſuffragia, & ſæpe ſupervacui fierent: quòd veteres illæ XXXV. pluſquam dimidium tribuum conficerent. Quod conſilium ſive tunc non animadver- 380

Liberti in militiam primùm admiſſi.
Sociis Romanorum jus civium datum.

ſum eſt, ſive ſocii contenti modico tum non requirebant amplius, poſtea tamen deprehenſum, novarum ſeditionum fuit materia. At ſuperi maris accolæ nondum cognito Hetruſcos mutaſſe ſententiam, XV. M. militum auxilio per devios calles circumduxerunt in Hetruriam. quos aggreſſus Cn. Pompeius jam coſ. occidit ad V. M. ceteri dum ad ſuos per loca aſpera & invia, hyeme quoque gravante, palantes ſe recipiunt, & famem ſolantur glandibus, dimidium eorum interiit.

Porcii Catonis interitus.

Eadem hyeme Porcius Cato, Pompeii collega, Marſis bellum inferens, occiſus eſt. poſt hæc

L. Cluentius.

L. Cluentius Syllam ad Pompeianos montes caſtrametatum contemnere auſus, & ipſe caſtra ad tertium inde ſtadium poſuit. Sylla verò non ferens eam contumeliam, ne pabulatoribus quidem expectatis, in eum fecit impetum: & tunc quidem victus fugit: mox receptis pabulatoribus profligavit Cluentium, & caſtra in remotiorem locum transferre coëgit. qui deinde aſſumptis auxiliis Gallicis rurſus cum Sylla caſtra contulit: poſtquam autem utrinque exercitus prodiit in aciem,

Gallus quidam ad monomachiam Romanos provocat.

ingens Gallus procurrens invitabat ad ſingulare certamen ex Romanis aliquem. Eum quum parvæ ſtaturæ Numida confeciſſet, territi Galli confeſtim terga verterunt; jámque turbata acie nec alii Cluentiani perſtiterunt, ſed Nolam refugerunt

Nola.

trepidi: Sylla verò perſequente,

ἀγαπησάντων τῶν Ἰταλιωτῶν, ὕστερον ἐπιγνωσθὲν, ἑτέρας στάσεως ἦρξεν. οἱ δὲ περὶ τὸν Ἰόνιον, οὔπω τὴν Τυρρηνῶν μετάνοιαν ἐγνωκότες, μυρίους καὶ πεντακισχιλίους ὁδὸν ἀτριβῆ καὶ μακρὰν ἐς τὴν Τυρρηνίαν ἐπὶ συμμαχίᾳ περιέπεμπον· καὶ αὐτοῖς ἐπιπεσὼν Γνάιος Πομπήϊος, ὕπατος ὢν ἤδη, διέφθειρεν ἐς πεντακισχιλίους, καὶ τῶν λοιπῶν ἐς τὰ σφέτερα δι' ἀπόρου χώρας καὶ χειμῶνος ἐπιπόνου διατρεχόντων, οἱ ἡμίσεις βαλανηφαγοῦντες διεφθάρησαν. τοῦ δ' αὐτοῦ χειμῶνος Κορνήλιος μὲν Κάτων, ὁ συνάρχος τοῦ Πομπηΐου, Μαρσοῖς πολεμῶν ἀνῃρέθη· Λεύκιος δὲ Κλοέντιος Σύλλᾳ περὶ Πομπηΐα ὄρη στρατοπεδεύοντι μάλα καταφρονητικῶς ἀπὸ σταδίων τριῶν παρεστρατοπέδευε· καὶ ὁ Σύλλας τὴν ὕβριν οὐκ ἐνεγκὼν, οὐδὲ τῶν ἰδίων τοὺς χορτολογοῦντας ἀναμείνας, ἐπέδραμε τῷ Κλοεντίῳ. καὶ τότε μὲν ἡττώμενος ἔφυγε, προσλαβὼν δὲ τοὺς χορτολογοῦντας, τρέπεται τὸν Κλοέντιον· ὁ δ' αὐτίκα μὲν πορρωτέρω μετεστρατοπέδευε, ἀφικομένων δ' αὐτῷ Γαλατῶν αὖθις ἐπλησίαζε τῷ Σύλλᾳ, καὶ συνιόντων τῶν στρατῶν, Γαλάτης ἀνὴρ μεγέθει μέγας προδραμὼν προὐκαλεῖτο τινὰ Ῥωμαίων ἐς μάχην· ὡς δ' αὐτὸν ὑποστὰς Μαυρούσιος ἀνὴρ βραχὺς ἔκτεινεν, ἐκπλαγέντες οἱ Γαλάται, αὐτίκα ἔφευγον. παραλυθείσης δὲ τῆς τάξεως, οὐδ' ὁ ἄλλος ὅμιλος ἔτι τοῦ Κλοεντίου παρέμεινεν, ἀλλ' ἔφευγεν ἐς Νόλαν ἀκόσμως· καὶ ὁ Σύλλας αὐτοῖς ἑπόμενος, ἔκτεινεν ἐς τρισ-

in ea fuga ceciderunt ad triginta

μυρίους

μυριάδας ἐν τῷ δρόμῳ, καὶ τῶν Νωλαίων αὐτοὺς μιᾷ πύλῃ δεχομένων, ἵνα μὴ οἱ πολέμιοι σφίσιν ἐσπέσοιεν, ἑτέρους ἔκτεινεν ἀμφὶ τοῖς τείχεσιν ἐς δισμυρίους· καὶ σὺν τοῖσδε Κλοέντιος ἀγωνιζόμενος ἔπεσε. Σύλλας δ' ἐς ἔθνος ἕτερον Ἱρπίνους μετεστρατοπέδευε, καὶ προσέβαλε Αἰκουλάνον· οἱ δὲ, Λευκανοὺς προσδοκῶντες αὐτῆς ἡμέρας σφίσιν ἐπὶ συμμαχίαν ἀφίξεσθαι, τοῦ Σύλλα καιρὸν ἐς σκέψιν ᾔτουν. ὁ δ' αἰσθανόμενος τοῦ τεχνάσματος, ὥραν αὐτοῖς ἔδωκε, κἀν τῆδε ξυλίνῳ ὄντι τῷ τείχει, κληματίδας περιτεθεὶς, μετὰ τὴν ὥραν ὑφῆπτεν· οἱ δὲ, δείσαντες, τὴν πόλιν παρεδίδουν· καὶ τήνδε μὲν ὁ Σύλλας διήρπαξεν, ὡς οὐκ εὐνοίᾳ, προσελθοῦσαν, ἀλλ' ἀνάγκῃ· τῶν δ' ἄλλων ἐφείδετο προστιθεμένων, μέχρι τὸ Ἱρπίνων ἔθνος ἅπαν ὑπηγάγετο· καὶ μετῆλθεν ἐπὶ Σαμνίτας, οὐχ ᾗ Μότιλος ὁ τῶν Σαμνιτῶν στρατηγὸς τὰς παρόδους ἐφύλαττεν, ἀλλ' ἑτέραν ἀδόκητον ἐκ περιόδου. προσπεσὼν δ' ἄφνω, πολλούς τε ἔκτεινε καὶ τῶν ὑπολοίπων σποράδην διαφυγόντων, ὁ μὲν Μότιλος τραυματίας ἐς Αἰσερνίαν σὺν ὀλίγοις κατέφυγεν· ὁ δὲ Σύλλας, αὐτοῦ τὸ στρατόπεδον ἐξελὼν, ἐς Βουιανὸν παρῆλθεν, ἣ κοινοβούλιον ἦν τῶν ἀποστατῶν· τρεῖς δ' ἄκρας τῆς πόλεως ἐχούσης, καὶ τῶν Βουκάνων ἐς τὸν Σύλλαν ἐπεστραμμένων, περιπέμψας τινὰς ὁ Σύλλας ἐκέλευσε καταλαβεῖν ἥντινα τῶν ἄλλων δυνηθεῖεν ἄκραν, καὶ καπνῷ τοῦτο σημῆναι· γενομένου δὲ τοῦ καπνοῦ, συμβαλὼν τοῖς ἐκ μετώπου, καὶ μαχόμενος ὥραις τρισὶ καρτερῶς, εἷλε τὴν πόλιν.

millia: quumque per unicam portam reciperentur, Nolanis metuentibus ne hoſtis ſimul irrumperet, cæſa ſunt circa muros alia viginti millia, & in his Cluentius fortiter pugnans occubuit. Imperator inde in Hirpinos movit, & Æquulanum oppugnare cœpit. oppidani qui ea ipſa die Lucanorum adventum expectabant, tempus ad deliberandum poſtulant. ille dolo intellecto dat horæ ſpatium: interim ad mœnia, quæ trabibus conſtabant, faſces ſarmentorum admovet, eos poſt horam incendit. ita metu expreſſa deditione, oppidum quaſi vi captum direptum eſt: reliqua oppida Hirpini nominis ultrò in fidem populi Romani redierunt. In Samnium inde bellum transfertur, non per eos aditus quos ſervabat Mutilus, Samnitum dux, ſed per ambages quà minimè putabatur hoſtis venturus: itaque repente multi oppreſſi ſunt, reliquos paſſim fuga diſperſit: Mutilus ſaucius cum paucis Eſerniam continuato curſu delatus eſt. Sylla, expugnatis ejus caſtris duxit ad Bovianum, in qua rebellium populorum concilium agitabatur: & quum tres arces haberet id oppidum, Bovianenſibus in Syllam intentis, circummiſſæ aliquot cohortes juſſæ ſunt diverſa parte quamcunque illarum capere, & fumo id ſignificare: quod ubi ſucceſſit, à fronte aggreſſus mœnia, non intermiſſa per tres horas oppugnatione, tandem vi cepit.

Gallorum clades.

Cluentii interitus.

Hirpini.

Æquulanum.

381

Samnium.

Mutilus Samnitum dux.

Bovianum.

Et hæc quidem per æſtatem proſperè geſta ſunt, Syllæ auſpiciis. ſub hyemem ad conſulatum petendum in Urbem profectus eſt. At Cn. Pompeius Marſos, Marrucinos, Veſtinóſque ſubegit. Diverſa parte C. Coſconius prætor Salapiam vi captam incendit, Cannas in fidem recepit: ab obſidione Canuſii ſuperventu Samnitum poſt acrem pugnam edita utrinque magna ſtrage repulſus, ad Cannas coactus eſt ſeſe recipere. Ceterùm Trebatius Samnitum imperator dirimente exercitus fluvio, denuntiavit ei, aut trajiceret commiſſurus prælium, aut retrocederet, dum ipſe trajicit. Ille retrocedere maluit: & Trebatium quamprimùm trajecit, aggreſſus vicit: fugientéſque perſecutus in amnem præcipites egit, ita ut ex eis XV. M. deſiderata ſint: reliquis unà cum Trebatio ſaluti fuit refugiſſe intra Canuſium. Tum Coſconius Larinantium, Venuſinorum, Apulorúmque agris pervaſtatis, Pediculos invaſit, & intra biduum tota gente per deditionem potitus eſt: cujus ſucceſſor Cæcilius Metellus accepto exercitu Apulos adortus prælio vicit. in quo
382 Popedius unus ex defectionis autoribus cecidit: reliquiæ cladis catervatim ad victorem transfugerunt. Atque ita bellum ſociale maxima contentione geſtum eſt hactenus, donec univerſa Italia civitatem Romanam adepta eſt, abſque Lucanis & Samnitibus, qui tamen aliquanto pòſt pari-

Cn. Pompeius.

C. Coſconius.

Cannæ.

Trebatii clades.

Pediculi.

Καὶ τάδε μὲν ἦν τοῦδε τοῦ θέρους εὐπραγήματα Σύλλα. χειμῶνος δ' ἐπιόντος ὁ μὲν ἐς Ῥώμην ἀνέστρεφεν ἐς ὑπατείαν παραγγέλλων· Γναῖος δὲ Πομπήϊος ὑπηγάγετο Μάρσους καὶ Μαρρουκίνους καὶ Οὐϊστίνους· καὶ Γάϊος Κοσκώνιος, ἕτερος Ῥωμαίων στρατηγὸς, ἐπελθὼν, Σαλαπίαν τε ἐνέπρησε, καὶ Κάννας παρέλαβε, καὶ Κανύσιον περικαθήμενος Σαμνίταις ἐπελθοῦσιν ἀντεμάχετο ἐγκρατῶς· μέχρι φόνος πολὺς ἑκατέρων ἐγένετο, καὶ ὁ Κοσκώνιος ἐλαττούμενος ἐς Κάννας ὑπεχώρει. Τρεβάτιος δ' αὐτὸν ὁ τῶν Σαμνιτῶν στρατηγὸς, ποταμοῦ διείργοντος, ἐκέλευεν ἢ περᾶν ἐπ' αὐτὸν ἐς μάχην, ἢ ἀναχωρεῖν ἵνα περάσειεν· ὁ δ' ἀναχωρεῖ, καὶ διαβάντι τῷ Τρεβατίῳ προσπεσὼν, μάχῃ τε κρείττων ἐγένετο, καὶ φεύγοντος ἐπὶ τὸ ῥεῦμα αὐτοῦ, μυρίους καὶ πεντακισχιλίους διέφθειρεν, οἱ δὲ λοιποὶ μετὰ τοῦ Τρεβατίου διέφυγον ἐς Κανύσιον. καὶ ὁ Κοσκώνιος τὴν Λαριναίων καὶ Οὐενουσίων καὶ Ἀσκλαίων γῆν ἐπιδραμὼν, ἐς Ποδίκλους ἐσέβαλε, καὶ δυσὶν ἡμέραις τὸ ἔθνος παρέλαβε. Καικίλιος δ' αὐτῷ Μέτελλος ἐπελθὼν ἐπὶ τὴν στρατηγίαν διάδοχος, ἐς Ἰάπυγας ἐμβαλὼν, ἐκράτει καὶ ὅδε μάχῃ τῶν Ἰαπύγων. καὶ Πομπαίδιος ἄλλος τῶν ἀφεστώτων στρατηγὸς ἐνταῦθα ἔπεσεν, οἱ δὲ λοιποὶ σποράδην εἰς τὸν Καικίλιον διέφυγον. καὶ τάδε μὲν ἦν περὶ τὴν Ἰταλίαν ἀμφὶ τὸν συμμαχικὸν πόλεμον, ἀκμάσαντα μὲν δὴ μάλιστα μέχρι τῶνδε, ἕως Ἰταλία πᾶσα προσεχώρησεν ἐς τὴν Ῥωμαίων πολιτείαν, χωρίς γε Λευκανῶν καὶ Σαμνιτῶν τότε. δοκοῦσι γάρ μοι καὶ οἵδε τυ-

χεῖν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

χεῖν ὧν ἔχρῃζον ὕστερον· ἐς δὲ τὰς φυλάς, ὅμοια τοῖς προστυχοῦσιν ἔσχατοι κατελέγοντο, τοῦ μὴ τοῖς ἀρχαίοις ἀναμεμιγμένοι ἐπικρατεῖν ἐν ταῖς χειροτονίαις πλέονες ὄντες.

Τοῦ δ᾽ αὐτοῦ χρόνου κατὰ τὸ ἄστυ οἱ χρῆσται πρὸς ἀλλήλους ἐστασίασαν, οἱ μὲν, πράττοντες τὰ χρέα σὺν τόκοις, νόμου τινὸς παλαιοῦ διαγορεύοντος μὴ δανείζειν ἐπὶ τόκοις, ἢ ζημίαν τὸν οὕτω δανείσαντα προσοφλεῖν. ἀποστραφῆναι γὰρ μοι δοκοῦσιν οἱ πάλαι Ῥωμαῖοι, καθάπερ Ἕλληνες, τὸ δανείζειν, ὡς καπηλικὸν, καὶ βαρὺ τοῖς πένησι καὶ δύσερι καὶ ἐχθροποιόν· ᾧ λόγῳ καὶ Πέρσαι τὸ κιχρᾶναι, ὡς ἀπατηλόν τε καὶ φιλοψευδές. ἔθους δὲ χρονίου τοὺς τόκους βεβαιοῦντος, οἱ μὲν κατὰ τὸ ἔθος ᾔτουν, οἱ δὲ οἷον ἐκ πολέμων τε καὶ στάσεων ἀνεβάλλοντο τὰς ἀποδόσεις, εἰσὶ δ᾽ οἳ καὶ τὴν ζημίαν τοὺς δανείσαντας ἐκτίσαι ἠπείλουν· ὅ, τε στρατηγὸς Ἀσελλίων, ᾧ ταῦτα προσέκειτο, ἐπεὶ διαλύων αὐτοὺς οὐκ ἔπειθεν, ἐδίδου καθ᾽ ἀλλήλων αὐτοῖς δικαστήρια, τὴν ἐκ τοῦ νόμου καὶ ἔθους ἀπορίαν ἐς τοὺς δικαστὰς περιφέρων. οἱ δανεισταὶ δὲ, χαλεπήναντες ὅτι τὸν νόμον παλαιὸν ὄντα ἀνεκαίνιζε, κτείνουσιν αὐτὸν ὧδε· ὁ μὲν ἔθυε τοῖς Διοσκούροις ἐν ἀγορᾷ, τοῦ πλήθους ὡς ἐπὶ θυσίαν περιστάντος, ἑνὸς δὲ λίθου τὸ πρῶτον ἐπ᾽ αὐτὸν ἀφεθέντος, ἔρριψε τὴν φιάλην, καὶ ἐς τὸ Ἑστίας ἱερὸν ἵετο δρόμῳ· οἱ δὲ, αὐτὸν προλαβόντες τε ἀπέκλεισαν ἀπὸ τοῦ ἱεροῦ, καὶ καταφυγόντα ἔς τι πανδοχεῖον ἔσφαξαν. πολλοί τε τῶν διω-

ter compotes voti facti ſunt. Digeſti ſunt autem in ſuas tribus, quemadmodum ſuprà dictum eſt de aliis ſociis, ne permixti veteribus civibus ut numero ita ſuffragiis vincerent.

Seditio nova ob æs alienum.

Per idem tempus & in Urbe ob æs alienum exorta eſt ſeditio, dum quidam acerbius uſuras exigunt, contrà quam cautum eſſet antiquis legibus. Videntur enim illi priſci Romani, ſicut & Græci abhorruiſſe à fœnore, ut negotiatione moleſta pauperibus, & litium inimicitiarúmque materia: quæ res ne Perſis quidem placuit, ut non aliena à fraude ac mendacio. ſed quia veteri jam more fœnus receptum fuerat, fœneratores repoſcebant id jure ſuo: debitores verò bellum & ſeditiones cauſando differebant reddere: nec deerant qui urgentibus mulctam intentarent. Tum Aſellio prætor, cujus erat ea juriſdictio, quia conciliare partes conatus nihil proficiebat, permiſit eos legibus agere, admonitis prius, ut in re perplexa, tum de jure tum de more, judicibus. Ibi fœneratores ægrè ferentes renovari mentionem legis veteris, prætorem tollunt è medio, ad hunc modum, Sacrum is faciebat in foro, in æde Caſtorum, circumſtante ut fit frequenti multitudine: quumque unus quiſpiam petiſſet eum lapide, abjecta phiala ad ædem Veſtæ cœpit currere: ſed præventus & excluſus, dum in caupona quadam quærit latebras, jugulatus eſt. In ea turba multi rati eum ad Ve-

Aſellio prætor.

Ejus interitus.

ſtales confugiſſe, dum avidius inſequuntur, penetraverunt quò nefas eſt viros ingredi. Sic Aſellio prætor in ipſo magiſtratu, amictus ſacra ſolennique veſte aurata, circiter horam diei ſecundam in medio foro inter ſacrificandum
383 dum cæſus eſt. Senatus per præconem indici autorum ejus cædis oſtentavit præmium, libero pecuniam, ſervo libertatem, conſcio impunitatem: nemo tamen index extitit, fœneratoribus rem tegentibus: & hæc quoque fuit pars tumultuum civilium.

Post hæc factionum principes juſtis exercitibus, ut in bello mos eſt, rem geſſerunt adverſus ſe invicem: & victoriæ præmium, petebatur patria. quarum contentionum occaſio mox poſt finem ſocialis belli enata eſt in hunc modum. Poſtquam Mithridates Ponti, aliarúmque gentium rex, Bithyniam & Phrygiam confinémque his Aſiam invaſit, ut ſuprà in proximo diximus volumine, Sylla tum conſul Aſiam cum Mithridatico bello ſortitus eſt provinciam, nondum ab urbe digreſſus: Marius verò arbitratus id bellum plus lucri quam difficultatis habiturum, ſimúlque imperandi cupidus, multis pollicitationibus induxit P. Sulpitium trib. pleb. ut ſibi adeſſet: fecítque ſpem novellis civibus fore ut jure ſuffragiorum æquarentur veteribus, & per tribus diſtribuantur, diſſimulans interim, ſuum ſe negotium agere,

Sylla.

Marius.

κόντων, ἐς τὰς παρθένους αὐτὸν ἡγούμενοι καταφυγεῖν, ἐσέδραμον ἔνθα μὴ θέμις ἦν ἀνδράσιν. οὕτω μὲν καὶ Ἀσελλίων, στρατηγῶν τε καὶ σπένδων, καὶ ἱερὰν καὶ ἐπίχρυσον ἐσθῆτα ὡς ἐν θυσίᾳ περικείμενος, ἀμφὶ δευτέραν ὥραν ἐσφάζετο ἐν ἀγορᾷ μέσῃ περὶ τοῖς ἱεροῖς. καὶ ἡ σύγκλητος ἐκήρυσσεν, εἴ τις τι περὶ τὸν Ἀσελλίωνος φόνον ἐλέγξειεν, ἐλευθέρῳ μὲν ἀργύριον, δούλῳ δὲ ἐλευθερίαν, συνεγνωκότι ἄδειαν· οὐ μὴν ἐμήνυσεν οὐδεὶς, τῶν δανειστῶν περικαλυψάντων. τάδε μὲν δὴ φόνοι καὶ στάσεις ἔτι ἦσαν ἐμφύλιοι κατὰ μέρη.

ΜΕΤΑ' δὲ τοῦτο στρατοῖς μεγάλοις οἱ στασίαρχοι πολέμου νόμῳ συνεπλέκοντο ἀλλήλοις, καὶ ἡ πατρὶς ἆθλον ἔκειτο ἐν μέσῳ. ἀρχὴ δ' ἐς τοῦτο καὶ πεῖρα εὐθὺς ἐπὶ τῷ συμμαχικῷ πολέμῳ ἤδε ἐγίγνετο. ἐπειδὴ Μιθριδάτης ὁ τοῦ Πόντου καὶ ἄλλων ἐθνῶν βασιλεὺς ἐς Βιθυνίαν καὶ Φρυγίαν καὶ τὴν ὅμορον αὐταῖς Ἀσίαν ἐνέβαλεν (ὡς μοι κατὰ τὴν βίβλον εἴρηται τὴν πρὸ τῆσδε) Σύλλας μὲν ὑπατεύων ἔλαχε στρατηγεῖν τῆς Ἀσίας καὶ τοῦδε τοῦ Μιθριδατείου πολέμου, καὶ ἦν ἔτι ἐν Ῥώμῃ· Μάριος δὲ τὸν πόλεμον εὐχερῆ τε καὶ πολύχρυσον ἡγούμενος εἶναι, καὶ ἐπιθυμῶν τῆς στρατηγίας, ὑπηγάγετο οἱ συμπράσσειν ἐς τοῦτο Πόπλιον Σουλπίκιον δήμαρχον ὑποσχέσεσι πολλαῖς, καὶ τοὺς ἐκ τῆς Ἰταλίας νεοπολίτας, μειονεκτοῦντας ἐπὶ ταῖς χειροτονίαις, ἐπήλπισεν ἐς τὰς φυλὰς ἁπάσας διαιρήσειν· οὐ προλέγων μέν τι περὶ τῆς ἑαυτοῦ χρείας, ὡς δὲ ὑπηρέταις ἐς πάντα χρησόμενος εὔνοις. καὶ νόμον αὐτίκα ὁ Σουλ-

πίκιος

πίκιος ἐσέφερε περὶ τοῦδε· οὗ κυρωθέντος ἔμελλε πᾶν ὅ,τι βούλοιτο Μάριος ἢ Σουλπίκιος ἔσεσθαι, τῶν νεοπολιτῶν πολὺ παρὰ τοὺς ἀρχαίους πλειόνων ὄντων. οἱ δ᾽ ἀρχαιότεροι, συνορῶντες ταῦτα, ἐγκρατῶς τοῖς νεοπολίταις διεφέροντο· ξύλοις δὲ καὶ λίθοις χρωμένων αὐτῶν ἐς ἀλλήλους, καὶ μείζονος αἰεὶ γιγνομένου τοῦ κακοῦ, δείσαντες, οἱ ὕπατοι περὶ τῇ δοκιμασίᾳ τοῦ νόμου πλησιαζούσῃ, προύγραψαν ἡμερῶν ἀργίας πολλῶν, ὁποῖον ἐν ταῖς ἑορταῖς εἴωθε γίγνεσθαι· ἵνα τις ἀναβολὴ γένοιτο τῆς χειροτονίας καὶ τοῦ κακοῦ. Σουλπίκιος δὲ τὴν ἀργίαν οὐκ ἀναμένων, ἐκέλευε τοῖς στασιώταις εἰς τὴν ἀγορὰν ἥκειν μετὰ κεκρυμμένων ξιφιδίων, καὶ δρᾶν ὅ,τι ἐπείγοι, μηδὲ αὐτῶν φειδομένους τῶν ὑπάτων, εἰ δέοι. ὡς δὲ αὐτῷ πάντα ἕτοιμα ἦν, κατηγόρει τῶν ἀργιῶν ὡς παρανόμων, καὶ τοὺς ὑπάτους Κορνήλιον Σύλλαν καὶ Κόιντον Πομπήιον ἐκέλευεν αὐτὰς αὐτίκα ἀναιρεῖν, ἵνα προθείη τὴν δοκιμασίαν τῶν νόμων· θορύβου δὲ ἀναστάντος, οἱ παρεσκευασμένοι τὰ ξιφίδια ἐσπάσαντο, καὶ τοὺς ὑπάτους ἀντιλέγοντας ἠπείλουν κτενεῖν· μέχρι Πομπήιος μὲν λαθὼν διέφυγε, Σύλλας δὲ ὡς βουλευσόμενος ὑπεχώρει· κἀν τῷδε Πομπηίου τὸν υἱὸν κηδεύοντα τῷ Σύλλᾳ, παρρησιαζόμενόν τι καὶ λέγοντα, κτείνουσιν οἱ τοῦ Σουλπικίου στασιῶται· καὶ ὁ Σύλλας ἐπελθὼν ἐβάστασε τὴν ἀργίαν· ἔς τε Καπύην ἐπὶ τὸν ἐκεῖ στρατὸν, ὡς ἐκ τῆς Καπύης ἐς τὴν Ἀσίαν ἐπὶ τὸν Μιθριδάτου πόλεμον διαβαλῶν, ἠπείγετο· οὐ γάρ πω τινὸς τῶν ἐπ᾽ αὐτῷ πραττομένων ᾔσθετο. ὁ δὲ Σουλπίκιος, ἀναιρεθείσης τῆς ἀργίας,

& ideo captare illorum benevolentiam. Nec mora, Sulpitius legem ſuper hac re promulgat, qua perlata, ipſius Marii arbitratu gerenda erant omnia: in tantùm numero præpollebat recens civium acceſſio. id animadvertentes veteres cives totis viribus reſiſtebant. tandem ad manus & ad ſaxa contentio devenit: & gliſcente malo coſſ. timentes comitia proxima, indixerunt in multos dies ferias, quales ſolennes ſunt, ut differrentur comitia unà cum periculo. At Sulpitius nil moratus eas ferias, juſſit factionem ſuam in foro præſtò eſſe, ſicis ſub veſte accinctam: quibus, ſi res poſtullet, utantur vel contra ipſos coſſ. 384
quibus præparatis accuſare cœpit eas ferias ut illegitimas, jubens Syllam & Q. Pompeium coſſ. confeſtim eas tollere ut plebi committantur ſuffragia de legibus. Inde tumultu exorto, ſtringuntur ex compoſito ſicæ, & conſulibus contradicentibus intentantur, donec Pompeius clàm elapſus eſt, Sylla verò velut ad deliberandum ſeceſſit. interim Pompeius coſ. F. Syllæ gener, neſcio quid liberius locutus, à Sulpitianis interficitur. ac mox Sylla reverſus ferias ſuſtulit: properatóque itinere Capuam ad exercitum profectus eſt: inde porro contra Mithridatem trajecturus in Aſiam: nihil dum enim eorum quæ contra ſe parabantur ſenſerat. Sulpitius verò ſublatis feriis

Sulpitius.

Pompeii F. interitus.

& Sylla profecto, pergit legem ferre, propter quam hactenus tumultuatum fuerat: & pro Sylla Marium deſignat imperatorem belli Mithridatici. Ille re cognita, volens armis decernere, milites in concionem advocat, & ipſos expeditionis in Mithridatem lucri ſpe cupidos, & arbitrantes Marium uſurum alio milite: ibi commemoratis injuriis quibus affectus eſſet à Sulpicio Marióque, & nihil præterea manifeſtè pronuntians (nondum enim audebat talis belli mentionem inducere) hortatus eſt ut parati ſint juſſa facere. Illi intellecta ejus mente, veriti ne expeditio parum ſuccederet, aperiunt eam diſſimulationem, jubentes eum bono animo eſſe, & in Urbem ſe ducere. quare lætus confeſtim ſex legiones eò duxit: quarum tribuni deſerto exercitu Romam properaverunt, non ſuſtinentes militare contra patriam, ſolo ex honoratis quæſtore manente in agmine. huic legati obviam facti ſciſcitabantur quid ita patriam armatus peteret: reſpondit, ut eam liberaret à tyrannide. idem reſponſum quum iterum atque tertiò aliis poſt alios legatis dediſſet, pollicebatur tamen, ſi velit ſenatus cum Mario Sulpicióque in campo Martio ſibi præſtò eſſe, acturum ſe omnia de communi conſilio. jámque propinquanti occurrit collega Pompeius, laudatóque ejus facto operam ſuam obtulit. Marius verò cum Sulpicio, nondum ſatis

Sylla contra patriam exercitum ducit.

καὶ Σύλλα τῆς πόλεως ἀποστάντος, ἐκύρου τὸν νόμον· καὶ, οὗ χάριν ταῦτα ἐγίγνετο, Μάριον εὐθὺς ἐχειροτόνει τοῦ πρὸς Μιθριδάτην πολέμου στρατηγεῖν ἀντὶ Σύλλα. πυθόμενος δ' ὁ Σύλλας, καὶ πολέμῳ κρίνας διακριθῆναι, συνήγαγε τὸν στρατὸν εἰς ἐκκλησίαν, καὶ τόνδε τὸν ἐπὶ τῆς Μιθριδάτην στρατείας ὀρεγόμενόν τε, ὡς ἐπικερδοῦς, καὶ νομίζοντα Μάριον ἐς αὐτὴν ἑτέρους καταλέξειν ἀνθ' ἑαυτῶν. τὴν δ' ὕβριν ὁ Σύλλας τὴν ἐς αὐτὸν εἰπὼν Σουλπικίου τε καὶ Μαρίου, καὶ σαφὲς οὐδὲν ἄλλο ἐπενεγκὼν, (οὐ γὰρ ἐτόλμα πω λέγειν περὶ τοιοῦδε πολέμου) παρῄνεσεν ἑτοίμους ἐς τὸ παραγγελλόμενον εἶναι· οἱ δὲ, συνιέντες ὧν ἐπενόει, καὶ περὶ σφῶν δεδιότες, μὴ τῆς στρατείας ἀποτύχοιεν, ἀπεγύμνουν αὐτοὶ τὸ ἐνθύμημα τοῦ Σύλλα, καὶ ἐς Ῥώμην σφᾶς ἄγειν θαρροῦντα ἐκέλευον· ὁ δὲ, ἡσθεὶς, ἦγεν ἓξ τέλη στρατιωτῶν αὐτίκα. καὶ αὐτὸν οἱ μὲν ἄρχοντες τοῦ στρατοῦ, χωρὶς ἑνὸς ταμίου, διέδρασαν ἐς Ῥώμην, οὐχ ὑφιστάμενοι στρατὸν ἄγειν ἐπὶ τὴν πατρίδα· πρέσβεις δ' ἐν ὁδῷ καταλαβόντες, ἠρώτων τί μεθ' ὅπλων τὴν πατρίδα ἐλαύνοι. ὁ δ' εἶπεν, Ἐλευθερώσων αὐτὴν ἀπὸ τῶν τυραννούντων. Καὶ τοῦτο δὶς καὶ τρὶς ἑτέροις πρέσβεσιν εἰπὼν, ἐπήγγελλεν ὅμως, εἰ θέλοιεν τήν τε σύγκλητον αὐτῷ καὶ Μάριον καὶ Σουλπίκιον εἰς τὸ Ἄρειον πεδίον συναγαγεῖν, καὶ πράξειν ὅ, τι ἂν βουλευομένοις δοκῇ. πλησιάζοντι δὴ Πομπήϊος μὲν ὁ συνάρχος, ἐπαινῶν καὶ ἀρεσκόμενος τοῖς γιγνομένοις, ἀφίκετο, συμπράξων ἐς ἅπαντα· Μάριος δὲ καὶ Σουλπίκιος ἐς παρα-

385

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

περισκοπὴν ὀλίγου διαστήματος
εόμενοι, πρέσβεις ἑτέρους ἔπεμ-
ον, ὡς δὴ καὶ τούσδε ὑπὸ τῆς βου-
ῆς ἀπεσταλμένους, δεόμενοι μὴ ἀγ-
οτέρω τεσσαράκοντα σταδίων τῇ Ῥώ-
ῃ παραστρατοπεδεύειν, μέχρις
πισκέψαιντο περὶ τῶν παρόντων.
όλλας δὲ καὶ Πομπήϊος τὸ ἐνθύ-
ημα σαφῶς εἰδότες, ὑπέσχοντο
ὧδε πράξειν, εὐθὺς δὲ τοῖς πρέσ-
εσιν ἀπιοῦσιν εἵποντο· καὶ Σύλλας μὲν
ὰς Κλοιλίας πύλας καὶ τὸ παρ'
υτὰς τεῖχος ἑνὶ τέλει στρατιωτῶν
κατελάμβανε, Πομπήϊος δὲ τὰς
ολλίνας ἑτέρῳ τέλει· καὶ τρίτον ἐ-
ὶ τὴν ξυλίνην γέφυραν ἐχώρει, καὶ
έταρτον πρὸ τῶν τειχῶν ἐς διαδο-
ὴν ὑπέμενε· τοῖς δ' ὑπολοίποις
Σύλλας ἐς τὴν πόλιν ἐχώρει, δό-
ῃ καὶ ἔργῳ πολεμίου· ὅθεν αὐτὸν
περιοικοῦντες ἄνωθεν ἠμύνοντο
άλλοντες, μέχρι τὰς οἰκίας ἠπεί-
ησεν ἐμπρήσειν· τότε δ' οἱ μὲν ἀνέ-
ον· Μάριος δὲ καὶ Σουλπίκιος
πήντων περὶ τὴν Δασκύλειον ἀ-
γορὰν μεθ' ὅσων ἐφθάκεσαν ὁπλί-
σαι, καὶ γίγνεται τις ἀγὼν ἐχθρῶν
δὲ πρῶτος ἐν Ῥώμῃ, οὐχ ὑπὸ
ικόνι στάσεως ἔτι, ἀλλ' ἀπροφα-
ίστως ὑπὸ σάλπιγξι καὶ σημείοις,
πολέμου νόμῳ· ἐς τοσοῦτον αὐτοῖς
ακοῦ τὰ τῶν στάσεων ἀμεληθέντα
ροέκοψε. τρεπομένων δὲ τῶν Σύλλα
ρατιωτῶν, ὁ Σύλλας σημεῖον ἁρ-
πάσας προεκινδύνευεν· ὡς αἰδοῖ τε
τοῦ στρατηγοῦ, καὶ δέει τῆς ἐπὶ τῷ ση-
μείῳ, εἰ ἀπέχοιντο, ἀτιμίας, εὐ-
θὺς ἐκ τῆς τροπῆς αὐτοὺς μετατί-
σθαι· καὶ ὁ Σύλλας ἐκάλει τε τοὺς
εαλεῖς ἐκ τοῦ στρατοπέδου, καὶ ἑτέρους
διὰ τὴν καλουμένην Συβούρραν ὁδὸν
περιέπεμπεν, οἳ κατὰ νώτου τῶν πολεμίων ἔμελλον ἔσεσθαι περιδραμόντες.

parati propter temporis anguſtiam, alios legatos mittunt ſenatus nomine, poſtulantes ne intra quintum lapidem propius urbem caſtrametaretur, donec amplius deliberaret de præſenti negotio. At coſſ. intellecto hoc conſilio, annuerunt quidem legatorum poſtulatis, ſed abeuntes eos mox ſequuti ſunt: tum Syllani Cœlimontanam portam & contiguum murum una legione occupant, altera Collinam, duce Pompeio: tertia petit pontem ſublicium: quarta in ſtatione relicta ante mœnia. Sylla ipſe cum duabus reliquis urbem hoſtiliter ingreditur, ita ut ſupernè arceretur miſſilibus, donec incendium proximis vicis minatus, tela urbanorum cohibuit. Ei Marius ad Eſquilias cum Sulpicio ceteríſque ſuæ factionis trepidè armatis occurrit: quod primum omnium certamen inter infeſtas partes urbs vidit: non jam ut antè per ſeditionis ſpeciem, ſed aperto Marte collatis ſignis & canente claſſiro: eò tum contentiones proceſſerant, nemine maturante remedium. Jámque inclinata ſuorum acie, Sylla correpto ſigno inter primores provolat: atque ita vel imperatoris reverentia, vel metu ignominiæ quæ ſignorum deſertores ſequitur, miles omiſſo fugæ conſilio reſtitit. mox alia recens manus evocatur è caſtris: rurſus alia per Suburranam viam deflectere juſſa, ut adverſarios circumven-

Sullæ & Marii in urbe conflictus.

tos

tos à tergo aggrederetur. Tum Mariani feſſi, jam ſegnius repugnantes integris, adhæc ſolliciti ne qua vis à tergo ſe ingereret, cives eos qui de tectis adhuc pugnabant, convocant, & ſervos vocant ad pileum, ſi velint eſſe laboris participes: ſed nemine quicquam movente, per ſummam deſperationem ex urbe ſe

Mariani fugiunt.

proripiunt, & cum his nobiliſſimus quiſque ejus factionis. Sylla in ſacram viam delatus: mi-

De militibus ſupplicium.

lites rapinas auſos in conſpectu omnium affecit ſupplicio: &

386 diſpoſitis regionatim tota urbe præſidiis, partitus cum collega operam pervigil ea nocte obibat omnia, ne quis civium in rebus trepidis pateret victoris injuriis.

Sylla concionem vocat.

Diluculo verò vocata concione queſti ſunt de ſtatu reip. jamdudum turbulentis hominibus proditæ, dicentes ſe coactos feciſſe quicquid hactenus egerant: cenſebántque oportere nullam poſthac rogationem apud plebem fieri ſenatu inconſulto, revocando veterem morem, ſed dudum antiquatum. Poſtulabant etiam comitia non tributa ſed centuriata haberi ex inſtituto Servii Tullii: putantes his duabus rationibus, & ſi prima conſultatio penes ſenatum foret, & ſuffragia pauperibus atque in his audaciſſimo cuique adimerentur, rebus à vi ad conſilium revolutis, defore ſeditionum materiam: acciſáque multis aliis modis tribunorum pleb. potentia jam nimia, allegerunt in ſena-

οἱ δ' ἀμφὶ τὸν Μάριον, πρός τε τοὺς ἐπελθόντας ἀκμῆτας ἀσθενῶς μαχόμενοι, καὶ ἐπὶ τοῖς περιοδεύουσι δείσαντες περικυκλῶσιν, τούς τε ἄλλους πολίτας ἐκ τῶν οἰκιῶν ἔτι μαχομένους συνεκάλουν, καὶ τοῖς δούλοις ἐκήρυττον ἐλευθερίαν, εἰ μετάσχοιεν τοῦ πόνου. οὐδενὸς δὲ προσιόντος, ἀπογνόντες ἁπάντων, ἔφυγον εὐθὺς ἐκ τῆς πόλεως, καὶ σὺν αὐτοῖς ὅσοι τῶν ἐπιφανῶν συνεπεπράχεσαν. ὁ δὲ Σύλλας τότε μὲν ἐς τὴν λεγομένην Ἱερὰν ὁδὸν παρῆλθε, καὶ τοὺς διαρπάζοντάς τι τῶν ἐν ποσὶ, αὐτίκα ἐν μέσῳ πάντων ἐφορώντων ἐκόλαζε· φρουρὰν δὲ κατὰ μέρος ἐπιστήσας τῇ πόλει, διενυκτέρευεν αὐτός τε καὶ ὁ Πομπήϊος περιθέοντες ἑκάστους, ἵνα μή τι δεινὸν ἢ παρὰ τῶν δεδιότων ἢ παρὰ τῶν νενικηκότων ἐπιγένοιτο. ἅμα δ' ἡμέρᾳ τὸν δῆμον ἐς ἐκκλησίαν συναγαγόντες, ὠδύροντο περὶ τῆς πολιτείας ὡς ἐκ πολλοῦ τοῖς δημοκόποις ἐκδεδομένης, καὶ αὐτοὶ ὅσαν δὲ πράξαντες ὑπ' ἀνάγκης· εἰσηγοῦντό τε μηδὲν ἔτι ἀπροβούλευτον ἐς τὸν δῆμον ἐσφέρεσθαι· νενομισμένον μὲν οὕτω καὶ πάλαι, παραλελυμένον δ' ἐκ πολλοῦ· καὶ τὰς χειροτονίας μὴ κατὰ φυλὰς ἀλλὰ κατὰ λόχους, ὡς Τύλλιος βασιλεὺς ἔταξε, γίγνεσθαι· νομίσαντες, διὰ δυοῖν τοῖνδε, οὔτε νόμον οὐδένα πρὸ τῆς βουλῆς ἐς τὸ πλῆθος ἐσφερόμενον, οὔτε τὰς χειροτονίας ἐν τοῖς πένησι καὶ θρασυτάτοις, ἀντὶ τῶν ἐν περιουσίᾳ καὶ εὐβουλίᾳ γιγνομένας δώσειν ἔτι στάσεων ἀφορμάς. πολλά τε ἄλλα τῆς τῶν δημάρχων ἀρχῆς τυραννικῆς μάλιστα γεγενημένης περιελόντες, κατέλεξαν ἐς τὸ βουλευτήριον ὀλιγαν-

κινθρωπότατον δὴ τὸ τότε μάλιστα
, καὶ παρὰ τοῦτ' εὐκαταφρόνη-
ον, ἀθρόους ἐκ τῶν ἀρίστων ἀνδρῶν
ριακοσίους. ὅσα τε ὑπὸ Σουλπικίου
εκύρωτο μετὰ τὴν κεκελευμένην ὑπὸ
πάτων ἀργίαν, ἅπαντα διελύετο.
ς οὐκ ἔννομα.

Ὧδε μὲν αἱ στάσεις ἐξ ἔριδος καὶ
ιλονεικίας ἐπὶ φόνους, καὶ ἐκ φό-
ν ἐς πολέμους ἐντελεῖς προεκό-
πτον· καὶ στρατὸς πολιτῶν ὅδε πρῶ-
τος ἐς τὴν πατρίδα ὡς πολεμίαν
ἐσέβαλε· οὐδ' ἔληξαν ἀπὸ τοῦδε αἱ
άσεις ἔτι κρινόμεναι στρατοπέδοις,
λλ' ἐσβολαὶ συνεχεῖς ἐς τὴν Ῥώ-
μην ἐγίγνοντο καὶ τειχομαχίαι, καὶ
τα ἄλλα πολέμων ἔργα, οὐδενὸς ἔ-
ι ἐς αἰδῶ τοῖς βιαζομένοις ἐμπο-
δὼν ὄντος, ἢ νόμων, ἢ πολιτείας,
πατρίδος· τότε δὲ Σουλπίκιον,
ημαρχοῦντα ἔτι, καὶ σὺν αὐτῷ,
Μάριον, ἑξάκις ὑπατευκότα, καὶ
Μαρίου παῖδα, καὶ Πόπλιον Κέ-
θηγον, καὶ Ἰούνιον Βροῦτον, καὶ Γναῖον,
καὶ Κόϊντον Γρανίον, καὶ Πόπλιον
Ἀλβινοουανὸν, καὶ Μάρκον Λαιτώριον,
τέρους τε ὅσοι μετ' αὐτὸν ἐς δώδε-
κα μάλιστα ἐκ Ῥώμης διεπεφεύ-
γεσαν, ὡς στάσιν ἀγείραντας καὶ πο-
λεμήσαντας ὑπάτοις, καὶ δούλοις κη-
ρύξαντας ἐλευθερίαν εἰς ἀπόστα-
σιν, πολεμίους Ῥωμαίων ἐψήφιστο
εἶναι, καὶ τὸν ἐντυχόντα νηποινεὶ
κτείνειν, ἢ ἀνάγειν ἐπὶ τοὺς ὑπά-
τους. τά τε ὄντα αὐτοῖς δεδήμευ-
το, καὶ ζητηταὶ διέθεον ἐπὶ τοὺς ἄν-
δρας, οἳ Σουλπίκιον μὲν καταλα-
βόντες ἔκτειναν· ὁ δὲ Μάριος αὐτοὺς
ἐς Μιντούρνας διέφυγεν, ἔρημος ὑ-
tantes inter fragmenta navium
& inſtrumenta nautica, tum ex
his quæ ſupererant quaſſatas ple-
raſque. Admota igitur claſſe Cal-
viſii, curabat neceſſaria ſubdu-
ctis ſarciendis navibus, quum
otium eſſet ab hoſtibus, ſive
propter Calviſium, ſive quòd
in alto mallent ipſum aggredi.
In hoc rerum ſtatu Auſter exor-
tus meridie magnos fluctus mo-
vit in freto anguſto & ſuapte na-
tura conſito.

Sed Pompeius in Meſſanenſi
portu erat: Cæſarianæ verò na-
ves rurſum circa littus aſperum
& importuoſum conflictabantur
cum ſaxis & inter ſe, carentes
etiam ſupplemento nautico, i-
deóque regi difficiles. Menodo- 723
rus igitur veritus ne malum in
horas creſceret, longius receſ-
ſit à littore, jactis in ſalo anco-
ris: & quia fluctus in profun-
do erat lenior, remorum quo-
que vi contendebat ne tranſver-
ſus ad terras ageretur, imitan-
tibus eum quibuſdam aliis: reli-
qua multitudo, rati ventum citò
remiſſurum, ut ſolet verno tem-
pore, utrinque naves infrenave-
runt

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

runt ancoris, tam ab alto quàm à littore, contis protrudentes ne colliderentur. Sed vento ſævien- te amplius, conturbata ſunt omnia: abruptíſque ancoris naves collidebantur, & in terram aliæ poſt alias excutiebantur: clamoréſque varii miſcebantur, paventium, ejulantium, fruſtra ſurdos cohortantium: nemo enim exaudiri præ tanto ſtrepitu poterat, nihil inter gubernatorem & vulgarem nautam intererat, non artes, non mandata proderant: ſed par omnium erat interitus, & in ipſis navibus, & quoties quis excideret, eliſorum inter fluctus & navigia: fluitabant enim toto eo mari naufragia navium ac virorum, partim vivorum partim extinctorum: è quibus ſi quis ad terram enataſſet hi quoque ad ſaxa allidebantur, à fluctibus. Ut verò æſtus etiam acceſſit familiaris huic freto, inſuetos novus terror occupavit, navigiis tum maximè hac illac raptatis & inter ſeſe arietantibus, quum ventus ſub noctem crebreſceret, ut ne in luce quidem perirent ſed in tenebris: audiebantúrque per totam noctem ejulatus & clamores ſuos nomine vocantium, diſcurrentiúmque per terram & in mare inclamantium, & complorantium ut defunctos quando non exaudirentur: rurſum aliorum extra fluctus caput attollentium, & ſuccurri ſibi rogantium. Sed erant utriſque omnia difficilia: nec ſolùm mare periculoſum erat intrantibus, & his qui adhuc

γῆς διεκρότουν, καὶ κοντοῖς ἐξεώθουν ἀπ' ἀλλήλων· τραχυτέρου τοῦ πνεύματος γινομένου, συνέχυτο πάντα, καὶ συνετρίβοντο νῆες τὰς ἀγκύρας ἀπορρηγνῦσαι καὶ ἐς τὴν γῆν ἐπ' ἀλλήλαις τινασσόμεναι, βοή τε ἦν παμμιγὴς δεδιότων ὁμοῦ καὶ οἰμωζόντων, καὶ παρακελευόντων ἐς ἀνήκοον ἀλλήλοις· οὐ γὰρ ἐφικνοῦντο ἔτι τῶν λεγομένων, οὐδὲ κυβερνήτης ἰδιώτου διέφερεν, οὔτε κατ' ἐπιστήμην, οὔτε προστάσσων, ἀλλ' ὁ φθόρος ἦν ὅμοιος, ἔν τε ταῖς ναυσὶν αὐταῖς, καὶ ὅτε τι αὐτῶν ἐκπέσοι, κύμασι καὶ κλύδωνι καὶ ξύλοις ἀρασσομένων· ἔγεμε γὰρ θάλασσα ἱστίων, καὶ ξύλων, καὶ ἀνδρῶν, καὶ νεκρῶν· εἰ δέ τις καὶ τάδε διαφυγὼν ἐκνήχοιτο ἐπὶ τὴν γῆν, συνηράσσετο καὶ οἵδε ἐπὶ τὰς πέτρας ὑπὸ τοῦ κύματος· ὡς δὲ καὶ τὸ ἀνάστρεμμα τὴν θάλασσαν ἐλάμβανεν, ὃ συνήθως ἐπιγίγνεται τῷδε τῷ πορθμῷ, τοὺς μὲν ἀήθεις καὶ τοῦτο ἐξέπλησσε, τὰ δὲ σκάφη τότε μάλιστα περιφερόμενα συνέπιπτεν ἀλλήλοις, καὶ τὸ πνεῦμα ἐς νύκτα χαλεπώτερον ἐγίγνετο, ὥστε μηδὲ κατὰ φῶς ἔτι, ἀλλ' ἐν σκότῳ διόλλυσθαι, οἰμωγαί τε ἀνὰ τὴν νύκτα πᾶσαν ἦσαν, καὶ τῶν οἰκείων μετακλήσεις ἀνά τε τὴν γῆν διαθεόντων, καὶ τοὺς ἐν τῇ θαλάσσῃ καλούντων ἐξ ὀνόματος, καὶ θρηνούντων ὅταν μὴ ἐπακούσωσιν ὡς ἀπολωλότας, ἔμπαλίν τε ἑτέρων ἀνὰ τὸ πέλαγος ὑπερκυπτόντων τὸ κῦμα, καὶ ἐς βοήθειαν τοὺς ἐν γῇ παρακαλούντων· ἀμήχανα δὲ πάντα ἦν ἑκατέροις· καὶ οὐχ ἡ θάλασσα μόνη τοῖς ἐς αὐτὴν ἐσελθοῦσι, καὶ ὅσοι τῶν νεῶν ἐπιβε-

βήκεσαν

ἤκεσαν ἔτι· ἀλλὰ καὶ ἡ γῆ τοῦ κλύδωνος οὐχ ἧσσον ἦν ἀπορωτέρα, μὴ ῥίφας τὸ κῦμα συναράξειεν ἐπὶ τὰς πέτρας, ἐμόχθουν τε χειμῶνι τῶν πώποτε μάλιστα καινῷ τρόπῳ, γῆς ὄντες ἀγχοτάτω, καὶ τὴν γῆν δεδιότες, καὶ οὔτε ἐκφυγεῖν αὐτὴν ἐξανιέντες ἐς τὸ πέλαγος, οὔτε ὅσον ἀλλήλων διαστῆναι· ἡ γὰρ στενότης ἡ τοῦ χωρίου, καὶ τὸ φύσει δυσέξοδον αὐτοῦ, καὶ κλύδων ἐπιπεσών, καὶ τὸ πνεῦμα ὑπὸ τῶν περικειμένων ὀρῶν ἐς θυέλλας περικλώμενον, καὶ ὁ τοῦ βυθοῦ σπασμὸς ἐπὶ πάντα εἰλούμενος, οὔτε μένειν, οὔτε φεύγειν ἐπέτρεπε· τό τε σκότος ἦν ὠχλὺς νυκτὸς μάλιστα μελαίνης· ὅθεν ἔθνησκον οὐδὲ ἐφορῶντες ἀλλήλους ἔτι, οἱ μὲν θορυβούμενοι καὶ βοῶντες, οἱ δὲ ἐφ' ἡσυχίας παρειμένοι, καὶ τὸ δεινὸν ἐκδεχόμενοι, καὶ συνεργοῦντες ἐς αὐτὸ ἔνιοι, ὡς ἀπολούμενοι πάντως· γινόμενον γὰρ τὸ κακὸν κρεῖσσον ἐπινοίας, καὶ τὴν ἐκ τῶν παραλόγων εὐθὺς ἐλπίδα ἀφῃρεῖτο· μέχρι ποτὲ ἄφνω τὸ πνεῦμα περιστάσης ἡμέρας διελύετο, καὶ μεθ' ἡλίου ἐπιτολὴν παντελῶς ἐμαραίνετο· καὶ τὸ κῦμα ὅμως καὶ τότε τοῦ πνεύματος ἐκλυθέντος, ἐς πολὺ ἐτραχύνετο, καὶ τὸ δεινὸν οὐδὲ ὑπὸ τῶν ἐπιχωρίων ποτὲ τηλικοῦτον ἐμνημονεύετο γενέσθαι· γενόμενον δὲ ἔθους τε καὶ νόμου κρεῖσσον, διέφθειρε τοῦ Καίσαρος νεῶν καὶ ἀνδρῶν τὸ πλέον. ὁ δὲ καὶ τῆς προτεραίας ἡμέρας πολλὰ τῷ πολέμῳ βλαβείς, καὶ δύο τοῖσδε συμπτώμασιν ὁμοῦ συνενεχθείς, ἐπὶ τὸ Ἱππώνιον εὐθὺς ἦλθε διὰ τῶν ὀρῶν νυκτὸς αὐτῆς ἐκείνης κατὰ σπουδήν, οὐχ ὑφι-

in navibus manebant, ſed terra quoque propter inundationem nihilo tutior, dum metuunt ne ſe fluctus ad ſaxa allideret, novo tempeſtatis more, ut terræ proximi terram tamen timerent, 724 non valentes in altum ab ea refugere, ne tantillum quidem quantum ad vitandam colliſionem ſufficeret: namque loci anguſtia difficilis & alioquin permeantibus, exortáque tempeſtas, & ventus à circumſitis montibus in procellas refractus, ſimúlque vorticoſus profundi maris æſtus, nec manere ſinebat nec fugere. Quæ omnia gravabant tenebræ noctis obſcuriſſimæ: quapropter moriebantur ne conſpicui quidem invicem, alii tumultuantes clamantéſque, alii ſilentio necem expectantes, quidam etiam accelerantes ſibi perniciem, ut in rebus deploratiſſimis: nam expectatio malo ipſo moleſtior omnem etiam fortuitæ ſalutis ſpem adimebat: donec repente ventus remiſit appetente jam die, & ſole reverſo in univerſum elanguit, quamvis fluctus etiam quieſcente vento diu turbavit. qualem tempeſtatem ne indigenæ quidem unquam fuiſſe meminerant. tunc verò modum omnem morémque tranſgreſſa, majorem partem navium virorúmque Cæſaris perdidit. Ille ſupra cladem pridianam duabus novis afflictus calamitatibus, Vibonem eadem nocte per montes properavit,

Tempeſtas horrenda.

Cæſaris calamitates.

impatiens infortunii, cui nullam opem ferre poterat: dimiſſis nuntiis,

tiis ad omnes amicos & duces ut ſibi præſtò eſſent, ne (ut fit in rebus adverſis) aliquæ novæ contra ipſum exorientur inſidiæ: terreſtres autem copias quas circa ſe habuit, dimiſit per Italiæ littora, ne Pompeius hoc ſucceſſu elatus terram auderet invadere.

Pompeius victoria uti neſcit.

Qui tamen nec de terra quicquam cogitavit, nec reliquias naufragii vel præſentes vel abeuntes tempeſtate ſedata aggreſſus eſt: paſſus eos navigia cingere ſicut poterant, & ſecundo vento Vibonem perferri: ſive ſatis afflictos putabat, ſive neſciebat uti victoria: ſive, ut aliâs dixi, ad aliena invadenda ſegnis, contentus erat ſua defendere. Cæſaris autem navium ne dimi-
725 dium quidem ſuperfuit, & id vehementer quaſſatum: relictis tamen aliquot ad claſſis curam, ipſe ægrè ferens abiit in Campaniam: nam neque naves alias habebat, quum multis opus eſſet, neque tempus ad fabricam, urgente fame, & populo rurſus pacem flagitante, bellúmque vituperante ut fuſceptum contra fœdera: pecuniis quoque opus erat in magna harum inopia, populo Romano neque conferente quicquam, neque ſinente uti exigendi artibus. Verùm ille ingenioſus ad propria commoda, miſit Mæcenatem ad Antonium, qui melius edoctum de recens exortis inter ipſos controverſiis, ad belli ejus ſocietatem pertraheret: id ſi minus ſuccederet, cogitabat legiones onerariis in Sici

Cæſar in magnis anguſtiis.

Mæcenas ad Antonium miſſus.

στερόμενος τὴν συμφορὰν, ἐν ᾧ μ-
δὲν εἶχεν ἐπικουρεῖν, καὶ φίλοις,
στρατηγοῖς ἐπέστελλε πᾶσι παρὰ χ-
ρας εἶναι, μή τις αὐτῷ καὶ ἑτέρ-
θεν ὡς ἐν κακοπραγίᾳ γένοιτο ἐπ-
ιβουλή· περιέπεμπε δὲ καὶ ἐς τ
ἀκτὴν ἅπασαν τῆς Ἰταλίας τὰ πε
δία πεζὰ, μὴ ἐπιτολμήσειε καὶ τῇ
διὰ τὴν εὐτυχίαν ὁ Πομπήϊος.

Ὁ δὲ οὔτε περὶ τῆς γῆς ἐνενόησα,
οὔτε τοῖς λειψάνοις τοῦ ναυαγ
πυροῦσιν ἢ ἀπιοῦσι καταστάντος
κλύδωνος ἐπεχείρησεν, ἀλλ' ὑπε-
ῖδεν ἐκ τῶν δυνατῶν διαζωννυμ-
νους τὰ σκάφη, καὶ ἀνέμῳ δι
πλέοντας ἐς τὸ Ἱππώνειον, ε
τὴν συμφορὰν ἀρκεῖν οἱ νομίζω
εἴτ' ἄπειρος ὢν νίκην ἐπεξελθεῖ
εἴθ' ὥσπερ εἴρηταί μοι καὶ ἑτέρωθ
ἐπιχειρεῖν ὅλως μαλακὸς ὤν, κ
μόνον ἐγνωκὼς ἀμύνεσθαι τοὺς ἐπ
πλέοντας. Καίσαρι δὲ οὐδ' ἐς ἡμι
τῶν νεῶν περιεσώθη, καὶ τοῦτο σφ
δρα πεπονηκός. Καταλιπὼν δὲ
μως αὐτοῦ τινας ἐπιμελεῖσθαι, ἐ
Καμπανίαν ᾔει δυσφορῶν· οὔτε γ
ἄλλας ναῦς εἶχε δεόμενος πολλῶ
οὔτε χρόνον ἐς ναυπηγίαν, ἐπειγ
μενος ὑπὸ τοῦ λιμοῦ, καὶ τοῦ δήμο
περὶ συμβάσεων αὖθις ἐνοχλήσαν
τος, καὶ τὸν πόλεμον ἐπιτωθάζον
τος ὡς παράσπονδον· χρημάτ
τ' ἐχρῄζε καὶ ἠπόρει, Ῥωμαίων οὐ
εἰσφερόντων, οὔτε τοὺς πόρους ἐω
των, οὓς ἐπινοήσειε· δεινὸς δὲ ὢν ἀ
τὸ συμφέρον συνιδεῖν, ἔπεμπε Μαι
κήναν ἐς Ἀντώνιον μεταδιδάξο
τὰ περὶ ὧν ἔναγχος ἐπεμέμφοντ
ἀλλήλοις, καὶ ἐς συμμαχίαν ὑπ
αξόμενον· εἰ μὴ δὲ πείσειεν, ἐπενό
τοὺς ὁπλίτας ὁλκάσιν ἐπιβήσας, ἐ

Σικε

Σικελίαν περαιοῦν, καὶ τὴν θάλασσαν μεθεὶς, κατὰ γῆν τὸν πόλεμον ποιήσασθαι· οὕτω δ' ἀθύμως ἔχοντι αὐτῷ, ἀγγέλλεται ὁ Ἀντώνιος συνθέμενος συμμαχήσειν, καὶ νίκη κατὰ Κελτῶν τῶν Ἀκυιτανῶν ἐπιφανὴς, ἣν Ἀγρίππας ἄγων ἐφάνη· οἵ τε φίλοι καὶ τῶν πόλεων τινὲς αὐτῷ ναῦς ὑπισχνοῦντο, καὶ ἐποίουν· ὁ μὲν δὴ καὶ τῆς λύπης ἀνίει, καὶ λαμπροτέραν τῆς προτέρας παρασκευῆς συνεπήγνυτο.

Ἀρχομένου δ' ἦρος, ὁ μὲν Ἀντώνιος ἐξ Ἀθηνῶν ἐς Τάραντα διέπλει ναυσὶ τριακοσίαις, τῷ Καίσαρι συμμαχήσων ὡς ὑπέσχητο· ὁ δ' ἐνήλλακτο τὴν γνώμην, καὶ ἐς τὰς ἔτι γινομένας αὐτῷ ναῦς ἀνεβάλλετο· καλούμενος δὲ αὖθις ὡς ἐπὶ ἑτοίμας καὶ ἀρκούσας τὰς Ἀντωνίου, ἑτέρας ἀσχολίας προύφερε, καὶ δῆλος ἦν ἢ αὖθις ἐπιμεμφόμενός τι τῷ Ἀντωνίῳ, ἢ τῆς συμμαχίας διὰ τὴν εὐπορίαν τὴν οἰκείαν ὑπερορῶν· χαλεπαίνων δ' ὁ Ἀντώνιος, ἐπέμενεν ὅμως, καὶ αὖθις αὐτὸν ἐκάλει· τῇ τε γὰρ χορηγίᾳ τοῦ ναυτικοῦ ἔκαμνεν, καὶ στρατοῦ χρῄζων ἐπὶ Παρθυαίους Ἰταλοῦ, Καίσαρι τὰς ναῦς ἐπενόει διαλλάξαι, εἰρημένον μὲν ἐν ταῖς συνθήκαις ἑκατέρῳ ξενολογεῖν ἐκ τῆς Ἰταλίας, δυσχερὲς δ' ἐσόμενον αὐτοῖς καὶ βαρὺ, τὴν Ἰταλίαν εἰληχότος. Ὀκταουΐα οὖν ἐχώρει πρὸς Καίσαρα διαιτήσουσα αὐτοῖς, καὶ ὁ μὲν ἐγκαταλειφθῆναι τοῖς κινδύνοις ἔλεγε τοῖς ἐν πορθμῷ καταλαβοῦσιν, ἢ δὲ ἐκλελύσθαι τοῦτο διὰ Μαικήνα. ὁ δὲ τὸν Ἀντώνιον ἔφη καὶ Καλ-

liam trajicere, omiſſóque mari, in terra bellum gerere. His curis anxio nuntiatur Antonium ſocietatem non recuſare, ſimulque victoria de Aquitanis egregia, parta Agrippæ auſpiciis: amici etiam quædamque civitates naves pollicebantur & fabricabant. Sic ille omiſſa mœſtitiâ, magnificentiores jam claſſis apparatus faciebat.

Victoria de Aquitanis ab Agrippa victis.

Ineunte autem vere Antonius ex Athenis Tarentum cum trecentis navibus appulit, Cæſari auxilium ferens ut promiſerat: ille mutato conſilio, expectabat dum nova claſſis perficeretur, rurſumque invitatus ut Antonii apparatu ſuffecturo ad id bellum uteretur, excuſabat ſe diſtineri aliis negotiis: ut ſatis appareret, aut rurſum aliquid querelarum cum habere contra Antonium, aut ejus auxilia contemnere contentum propriis facultatibus. Id indigne ferens Antonius, tamen eodem loco manſit, vocavítque illum iterum: nam quum gravatim ſumptus in claſſem faceret & ad Parthicum bellum opus haberet Italicis legionibus, claſſem eis permutare cogitabat: quamvis ex fœdere utrique poteſtas erat delectus habendi per Italiam: ſed hoc difficilius futurum erat ipſi, ſortito Italiam altero. Quamobrem Octavia profecta eſt ad Cæſarem, ut arbitra inter eos foret: ajebat enim ſe deſertum incidiſſe in periculum, quo penè interiit in freto Siculo: retulit illa, crimen hoc jam per Mæcenatem dilutum. Poſt hoc objectum eſt, cum

Cæſar Antonii auxiliis uti non vult.

Octavia arbitra inter Cæſarem & Antonium.

726

Cæſaris expoſtulationes.

eum Calliam libertum ad Lepidum miſiſſe, ut fœdus contra Cæſarem inirent: illa reſpondit, ſe ſcire, Calliam miſſum ut de connubiis ageret: voluiſſe enim Antonium antequam contra Parthos expeditionem ſuſciperet elocare filiam filio Lepidi, ut promiſerat. Hæc aſſeverante Octavia, Calliam quoque Cæſari miſit Antonius, ut tormentis veritatem exprimeret: eum ille non accepit, dicens ſe collocuturum cum eo inter Metapontum & Tarentum: quo loco fluvius ejuſdem nominis medius interfluit. Forte fortuna quum uterque propinquaret fluvio, Antonius è carpento deſiliens, in lintrem ibi ſtantem ſolus inſiliit: trajiciebátque ad Cæſarem, credens ut amico. Id Cæſar æmulatus eſt: ita in flumine obvii, contendebant dum uterque vult in ripam alterius exſcendere. Vicit Cæſar, iturus Tarentum etiam ad Octaviam: conſedítque in eodem carpento cum Antonio, & Tarenti venit in ejus diverſorium abſque ſatellitio, & ſic pernoctavit apud eum: eadem omnia ſequenti die fecit Antonius. Ita continenter momento levi mutabantur vel ad ſuſpiciones per ambitionem, vel ad fiduciam quoties poſtularet neceſſitas. Ceterùm expeditionem contra Pompeium Cæſar in annum ſequentem diſtulit: Antonio diutius ibi morari propter Parthos non fuit integrum. Permutatio tamen facta eſt. Antonius Cæſari c x x. naves conti-

Cæſaris & Antonii reditus in gratiam.

Permutatio facta ab

λίαν ἀπελεύθερον ἐς Λέπιδον ἐ[κ]πέμψαι, συντιθέμενον τῷ Λεπι[δῳ] κατὰ Καίσαρος, ἡ δὲ συνειδέν[αι] Καλλίαν περὶ γάμων ἀπεσταλμένη[ν·] βουληθῆναι γὰρ Ἀντώνιον πρὸ Παρθυϊκῶν ἐκδεδόσθαι τὴν θυγατέρα τῷ παιδὶ Λεπίδου, καθάπερ ὡ[μο]λόγητο. καὶ τάδε μὲν ἡ Ὀκταουΐ[α]. Ἀντώνιος δὲ καὶ τὸν Καλλίαν ἔπεμπεν ἐς βάσανον τῷ Καίσαρι διδού[ς]· ὁ δὲ οὐκ ἐδέξατο μὲν, ἀφίξεσθαι ἔφη, καὶ συμμίξειν Ἀντωνίῳ μεταξὺ Ποντίου καὶ Τάραντος, μέσ[ον] ἔχων ποταμὸν τὸ ἐυώνυμον· κατὰ δαίμονα δὲ ἀμφοτέρων προσιόντων τ[ῷ] ῥεύματι, Ἀντώνιος ἐκ τῆς ἀπήνη[ς] καταθορὼν, ἔς τι τῶν παρορμουμένων σκαφῶν ἐσήλατο μόνος, ἐπέρα πρὸς τὸν Καίσαρα, πιστεύων ὡ[ς] φίλῳ, καὶ ὁ Καῖσαρ ἰδὼν, ἀντεμιμεῖτο, καὶ ξυμβάλλουσιν ἀλλήλοι[ς] κατὰ τὸ ῥεῦμα, καὶ διήριζον ἑκάτερος ἐκβῆναι βουλόμενος ἐς τὴν ὄχθην τοῦ ἑτέρου· ἐνίκα δὲ ὁ Καῖσαρ, ὡς καὶ πρὸς τὴν Ὀκταουΐαν ἥξων ἐς Τάραντα· ἐπί τε τῆς ἀπήνης Ἀντωνίου συνήδρευεν αὐτῷ, καὶ ἐν Τάραντι ἐς τὴν καταγωγὴν αὐτοῦ παρῆλθέ τε ἀφύλακτος, καὶ τὴν νύκτα ὁμοίως ἀνεπαύετο χωρὶς δορυφόρων παρ᾽ αὐτῷ· τὰ δ᾽ ὅμοια καὶ παρ᾽ Ἀντωνίου τῇ ἐπιούσῃ ἀπεδείκνυτο· οὕτως αὐτοῖς ἦν συνεχὴς ἡ μεταβολὴ πρός τε τὰς ὑπονοίας διὰ φιλαρχίαν, καὶ ἐς τὰς πίστεις ὑπὸ χρείας. τὸν μὲν οὖν ἐπίπλουν τὸν ἐπὶ Πομπήϊον ὁ Καῖσαρ ἐς νέωτα ἀνεβάλλετο· ὁ δ᾽ Ἀντώνιος ἐπιμένειν διὰ Παρθυαίους οὐ δυνάμενος, ἀντέδοσαν ὅμως ἀλλήλοις, Καίσαρι μὲν ὁ Ἀντώνιος ναῦς ἑκατὸν εἴκο-

σιν,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

ν, ἃς αὐτίκα πέμψας ἐς Τάραντα παρέδωκε, Ἀντωνίῳ δὲ ὁ Καῖσαρ δισμυρίους Ἰταλοὺς ὁπλί-
ς, οὓς ἐπιπέμψειν ὑπισχνεῖτο· ἐδωρήσατο δὲ καὶ Ὀκταουΐα τὸν ἀδελφὸν, αἰτήσασα παρ᾽ Ἀντωνίου δέκα φασήλοις τριηρετικοῖς ἐπιμίκτοις τε φορτίδων νεῶν καὶ μακρῶν, καὶ τὸν Ὀκταουΐαν ὁ Καῖσαρ χιλίοις λογάσι σωματοφύλαξιν, οὓς ἐπιλέξαιτο Ἀντώνιος. ἐπεὶ δὲ ὁ χρόνος τοῖς ἔληγε τῆς ἀρχῆς, ἣν τοῖς τρι- ἐπεψήφιστο ἀνδράσιν, ἑτέραν ἑ- τοῖς ὥριζον πενταετίαν, οὐδὲν ἔτι τοῦ δήμου δεηθέντες. οὕτω μὲν οὖν κρίθησαν ἀπ᾽ ἀλλήλων, καὶ ὁ Ἀντώνιος εὐθὺς ἐς τὴν Συρίαν ἠπείγετο, τὴν Ὀκταουΐαν παρὰ τῷ ἀδελφῷ καταλιπὼν μετὰ θυγατρὸς ἤδη γενομένης αὐτοῖς.

Μηνόδωρος δὲ, εἴτε τις ὢν φύ- παλιμπροδότης, εἴτε δείσας τὴν τε ἀπειλὴν Ἀντωνίου, ἀπαίξειν τὸν εἰπόντος ὡς ἀνδράποδον πο- ποιὸν, εἴτε ἐλασσόνων ἀξιοῦσθαι ιζων παρ᾽ ἃ προσεδόκησεν, εἴτε ν ἄλλων αὐτὸν ἐξελευθέρων τοῦ μπηΐου συνεχῶς ὀνειδιζόντων ἐς τισίαν δεσπότου, καὶ παρακαλούν- ν ἐπανελθεῖν, Τιμοκράτους ἀ- θανόντος, πίστιν αἰτήσας καὶ λα- ν, ηὐτομόλησε πρὸς Πομπήιον ὺ ἑπτὰ ναυσί, Καλουΐσιον τὸν ναύ- ρχον τοῦ Καίσαρος διαλαθών· ἐφ᾽ ᾧ Καλουΐσιον ὁ Καῖσαρ ἀπέλυ- τῆς ναυαρχίας, καὶ ἀντικατέστησεν γρίππαν. ἐπεὶ δ᾽ ἕτοιμος ἦν ὁ στόλος, ἐκάθαιρεν αὐτὸν ὁ Καῖσαρ ὧδε· οἱ μὲν βωμοὶ ψαύουσι τῆς θαλάσσης, καὶ ἡ πληθὺς αὐτοὺς περιέστηκε κατὰ ναῦν μετὰ σιωπῆς βαθυτάτης· οἱ δὲ ἱερουργοὶ θύουσι μὲν

nuò Tarentum miſſas tradidit: pro quibus Cæſar ei viginti legionariorum millia pollicitus eſt miſſurum ſe ex Italia. Octavia quoque fratrem donavit impetratis ab Antonio decem phaſelis triremibus: quod navis genus medium eſt inter longas & onerarias. Cæſar viciſſim Octaviam mille ſelectis ſatellitibus, Antonio delectu eorum permiſſo. Et quoniam triumviratus tempus ſenatuſconſulto præſcriptum exibat, prorogarunt ſibi ipſi poteſtatem in aliud quinquennium, nihil morari plebis ſuffragia: atque ita diſceſſerunt, Antonio rectà feſtinante in Syriam, Octavia relicta apud fratrem cum communi filiola.

Antonio & Cæſare.

Octaviæ dona ad Cæſarem.

727

Ceterùm Menodorus, ſive quòd natura eſſet reciprocus proditor: ſive minas Antonii veritus, qui ſervitutem ei ut mancipio turbulento intentaverat: ſive minora ſpe conſecutus præmia: ſive permotus quotidianis ceterorum Pompeii libertorum opprobriis, perfidiam objectantium, & ad officium revocantium, extincto Menecrate, fide impetrata transfugit ad Pompeium cum ſeptem navibus, non ſentiente præfecto claſſis Calviſio: quamobrem Cæſar ablatam ei præfecturam in Agrippam tranſtulit. Abſolutam deinde claſſem luſtravit hunc in modum: Altaria ſtant in extremo littore undis alludentibus: naves plenæ claſſiariis ordine circumſtant cum altiſſimo ſilentio: ſa-

Menodorus.

Ad Pompeium transfugit fide impetrata.

Claſſem luſtrat Cæſar.

Luſtrandarum claſſium mos.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

crificî ſtando in mari mactant victimas, móxque in ſcaphis ter circum claſſem luſtramina circumferunt, navigantibus unà & ducibus, comprecantibúſque ut in ea luſtramina à claſſe avertantur infauſta omnia: diviſis deinde luſtralibus viſceribus, partem in mare porriciunt, partem adolent in altaribus, fauſta ominante multitudine. Hoc modo Romani claſſes ſuas luſtrare ſolent. Statutum autem erat, ut Cæſar à Puteolis, Lepidus ex Africa, Taurus à Tarento, diverſis claſſibus Siciliam invaderent, ut hoſtem ab oriente pariter & occidente meridiéque circumvenirent, præmonitis omnibus ad quam diem Cæſar ſolveret. Ea fuit decima poſt ſolſtitium, quas Romani calendas vocant menſis in honorem ſuperioris Cæſaris dicti Julii, qui prius Quintilis vocabatur. Hanc diem Cæſar præſtituit, fauſtam ratus, fortaſſe propter patrem perpetuò victorem: Pompeius verò Lepido oppoſuit Plennium ad Lilybæum, cum legione una & mul-
728 titudine velitum: orientale occidentaléque Siciliæ latera præſidiis muniit, præſertim inſulas Liparam & Coſſyram, ne hæc Lepido, illa Cæſari, portus aut ſtationes opportunas præberent contra Siciliam: robur autem claſſis Meſſanæ continebat, in omnes occaſiones intentus. Hic fuit apparatus partium. Poſtquam autem calendæ venêre, prima aurora omnes ſolverunt: Lepidus ex Afri

ἑστῶτες ἐπὶ τῇ θαλάσσῃ, καὶ τρὶς ἐπὶ σκαφῶν περιφέρουσιν ἀνὰ τὸν ὅλον τὰ καθάρσια, συμπεριπλεόντων αὐτοῖς τῶν στρατηγῶν, καὶ ἐπευχομένων ἐς τάδε τὰ καθάρσια, ἀντὶ τοῦ στόλου τὰ ἀπαίσια τραπῆναι. νείμαντες δὲ αὐτὰ, μέρος ἐς θάλασσαν ἀπορρίπτουσι, καὶ μέρος ἐς τοὺς βωμοὺς ἐπιθέντες ἅπτο καὶ ὁ λεὼς ἐπευφημεῖ. οὕτω μὲν Ῥωμαῖοι τὰ ναυτικὰ καθαίρουσιν. ἔμελλε δὲ ὁ μὲν Καῖσαρ ἐκ Δικαιαρχείας, ὁ δὲ Λέπιδος ἐκ Λιβύης, Ταῦρος δὲ ἐκ Τάραντος ἐπιπλεύσεσθαι τῇ Σικελίᾳ, ὡς ἂν αὐτὸ ἐξ ἠοῦς ὁμοῦ καὶ δύσεως καὶ μεσημβρίας περιλάβοιεν, καὶ τῆς ἀναγωγῆς τοῦ Καίσαρος ἡ ἡμέρα προείρητο πᾶσι, καὶ ἦν δεκάτη τροπῶν θερινῶν, ἥν τινα Ῥωμαῖοι νουμηνίαν ἔχουσι τοῦ μηνὸς, ὃν ἐπὶ τ τοῦ Καίσαρος τοῦ προτέρου Ἰού ἀντὶ Κυϊντιλίου καλοῦσι. τήνδε Καῖσαρ εἵλετο τὴν ἡμέραν, αἰσιούμενος ἴσως διὰ τὸν πατέρα νικηφόρον αἰεὶ γενόμενον. ὁ δὲ Π πήϊος Λεπίδῳ μὲν ἀντέταττε Πλ νιον ἐν Λιλυβαίῳ, τέλος ὁπλι ἔχοντα, καὶ ἄλλο πλῆθος ἐσκευασμένον κούφως, τὴν δὲ πρὸς ἑω δύσιν ἀκτὴν τῆς Σικελίας πα ἐφρούρει, καὶ νήσους μάλιστα Λιπάραν τε καὶ Κοσσύραν, ἵνα μήτε Κ σύρα Λεπίδῳ, μήτε Λιπάρα Κ σαρι, ἐνορμίσματα ἢ ναυσταθ γένοιτο εὔκαιρα ἐπὶ τῇ Σικελίᾳ· δ᾽ ἄριστον τοῦ ναυτικοῦ ἐν Μεσσ συνεῖχεν, ἐφεδρεῦον ὅπῃ δεήσειεν. τω μὲν ἑκατέροις παρασκευῆς εἶχ γενομένης δὲ τῆς νουμηνίας, ἀνήγ το πάντες ἅμα ἠοῖ, Λέπιδος

ἐκ Λ

ἐκ Λιβύης χιλίαις ὁλκάσι, καὶ μακραῖς ἑβδομήκοντα, καὶ τέλεσι στρατοῦ δυώδεκα, καὶ ἱππεῦσι Νομάσι πεντακισχιλίοις, καὶ ἑτέρᾳ παρασκευῇ πολλῇ. Ταῦρος δ' ἐκ Τάραντος ταῖς Ἀντωνίου ναυσὶν ἐξ ἑκατὸν καὶ τριάκοντα δύο μόναις καὶ ἑκατὸν, ἐπεὶ τῶν λοιπῶν οἱ ἐρέται χειμῶνος ἐτεθνήκεσαν. ὁ δὲ Καῖσαρ ἐκ Δικαιαρχείας, θύων ἅμα καὶ σπένδων ἀπὸ τῆς ναυαρχίδος νεὼς ἐς τὸ πέλαγος ἀνέμοις εὐδίοις, καὶ ἀσφαλείῳ Ποσειδῶνι, καὶ ἀκύμονι θαλάσσῃ, συλλήπτορας αὐτῷ κατ' ἐχθρῶν πατρῴων γενέσθαι. προέπλων δ' αὐτοῦ τινες τοὺς μυχοὺς τῆς θαλάσσης διηρευνῶν, καὶ Ἄππιος μετὰ πλήθους νεῶν ὀπισθοφυλάκων εἵπετο. τρίτῃ δὲ τῆς ἀναγωγῆς ἡμέρᾳ νότος ἐμπεσὼν, Λεπίδου μὲν ὁλκάδας ἀνέτρεψε πολλὰς, ὡρμίσθη δὲ ὅμως ἐς Σικελίαν, καὶ Πλέννιον ἐν Λιλυβαίῳ πολιορκῶν, τινὰς τῶν πόλεων ὑπήγετο, καὶ ἑτέρας ἐβιάζετο· Ταῦρος δὲ ἀρχομένου τοῦ πνεύματος ἐς Τάραντα ἐπαλινδρόμει· Ἀππίου δ' ἄρτι τὸ Ἀθηναίων ἄκρον περιπλέοντος, αἱ μὲν συνετρίβοντο τῶν νεῶν ἀμφὶ ταῖς πέτραις, αἱ δ' ἐς τέλματα ἐξώκελλον ὑπὸ ῥύμης, αἱ καὶ διερρίφησαν οὐκ ἀσινεῖς. ὁ δὲ Καῖσαρ ἀρχομένου μὲν τοῦ χειμῶνος, ἐς τὸν Ἐλαΐτην κόλπον ἐρυμνὸν ὄντα συμπεφεύγει, χωρὶς ἑξήρους μιᾶς, ἣ περὶ τῇ ἄκρᾳ διελύθη· λιβὸς δὲ τὸν νότον μεταλαβόντος, ὁ κόλπος ἐκυμαίνετο ἐς τὴν ἑσπέραν ἀνεῳγμένος, καὶ οὔτε ἐκπλεῦσαι δυνατὸν ἦν ἔτι πρὸς ἐναντίον τοῦ κόλπου τὸ πνεῦμα, οὔτε κώπαις κατέχειν, οὔτε ἀγκύραις, ἀλλ' ἐς ἀλλήλας, ἢ ἐς τὰς πέτρας ἐνηρεισ-

mille onerariis, longis ſeptuaginta, cum legionibus duodecim, equitum Numidarum quinque millibus multóque apparatu alio: Taurus Tarento ex Antonianis CXXX navibus duas tantùm ſupra centum duxit, reliquarum peſtis abſumpſerat remigium anteacta hyeme: Cæſar Puteolis, quum prius è prætoria porrectis extis in mare, litaſſet ventis ſerenis, tutelari Neptuno & tranquillo mari, ut propitii ſibi contra patricidas faverent: præcurſoriæ verò nonnullæ ſinus maris ſcrutabantur: poſtremum navium agmen Appius cogebat cum præſidio. Tertia verò die poſtquam ſolverant, exortus Auſter multas onerarias Lepidi ſubvertit: tenuit tamen Siciliam, & Plennium intra Lilybæum oppugnavit, oppidáque aliquot partim vi, partim deditione in poteſtatem ſuam redegit. Taurus, mox ubi reflare ventus cœpit, Tarentum reverſus eſt. Appio verò circa Minervæ promontorium navigante, pars navium illiſa eſt ſcopulis, pars hæſit in brevibus, reliquæ non ſine damno disjectæ ſunt. Cæſar tempeſtate oriente in Velinum ſinum natura tutum confugit, excepta una ſexireme quæ circa promontorium fecit naufragium. Quúmque Auſtro ſucceſſiſſet Africus, ſinus ad occidentem apertus miſcebatur fluctibus: & naves neque reflante vento exire ſinum jam poterant, neque aut remis ſiſti aut ancoris, ſed vel ad ſaxa vel inter ſe colli-

Taurus. Appius. Minervæ promontorium.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

debantur: quod malum adventu noctis auctum eſt. Tandem ſedato infortunio, Cæſar necatos ſepeliit, vulneratos curavit, enatantes veſtiit, armavítque armis
729 aliis, & univerſam claſſem refecit pro copiis præſentibus. Perierunt naves graves ſex, leviores vigintiſex, liburnicæ plures etiam. His incommodis ſarciendis opus fuit triginta dierum ſpatio, & æſtas jam vergebat: unde optimum viſum eſt, differre bellum in æſtatem proximam: ſed quum populus laboraret inopia, ſubductas naves reparavit celeriter, & ſocios navales recollectos ex naufragiis Tauro in ſupplementum tranſmiſit. Poſt hunc haud exigui momenti caſum Mæcenas Romam miſſus eſt, propter conſternatos ob nondum abolitam ex animis civium Pompeii Magni memoriam: novos colonos ipſe magna feſtinatione Italiam obeundo recreabat à pavore: pari celeritate & Tarentum accurrit, ut Tauri claſſem inviſeret, inde Vibonem profectus, legiones affatus juſſit eſſe bono animo, acceleravítque apparatum navium, brevi Siciliam invaſurus denuo.

Claſſis Cæſaris tempeſtate afflicta.

Mæcenas Romam miſſus.

Pompeius ne hac quidem tot naufragiorum occaſione uſus, tantùm Neptuni ſacris operabatur & Salatiæ, quorum etiam filium appellari ſe ſuſtinuit, perſuaſus, non ſine deo bis ita per æſtivos menſes hoſtem afflictum

Pompeius Neptuni filius appellari vult.

σοντο αἱ νῆες, καὶ νυκτὸς ἦν ἔτι
δεινὸν ἀτοπώτερον· ἐνδόντος δέ-
τε τοῦ κακοῦ, τοὺς νεκροὺς ἔθαπ
ὁ Καῖσαρ, καὶ τοὺς τραυματία
θεράπευε, καὶ τοὺς ἐκνέοντας ἐνέ
καὶ ὥπλιζεν ἑτέροις ὅπλοις, καὶ τ
λον ἅπαντα ἐκ τῶν ἐνόντων ο
λάμβανε· διεφθάρατο δ᾽ αὐτοῦ
ες, βαρεῖαι μὲν ἕξ, κουφότεραι
ἓξ καὶ εἴκοσι, λιβυρνίδες δὲ ἔτι πλεί
καὶ ἐς τάδε διορθουμέναις τριάκοντα
ἡμέρας ἀναλῶσαι ἔμελλεν, ἤδη δ
θέρους προήκοντος· ὅθεν ἦν ἄ-
ριστον αὐτῷ τὸν πόλεμον ἐς τὸ μέλ-
λον θέρος ἀναβαλέσθαι. ἐνοχλουμ-
νου δὲ τοῦ δήμου ταῖς ἀπορίαις, ἐ-
εσκεύαζε ναῦς ἐς τὴν γῆν ἀνέ-
κων μετ᾽ ἐπείξεως, καὶ τὰ πληρώμ-
τα τῶν διεφθαρμένων ἐς τὰς πα
Ταύρῳ ναῦς κενὰς ἐξέπεμπεν· ὡς
ἐπὶ συμφορᾷ μείζονι, Μαικήν
μὲν ἐς Ῥώμην ἐξέπεμπε διὰ τοὺς
πτοουμένους ἔτι πρὸς τὴν μνήμ
Πομπηίου Μάγνου. οὐ γὰρ αὐτο
ἐξέλιπεν ἡ δόξα τοῦ ἀνδρὸς τοὺ
τοὺς δὲ κληρούχους αὐτὸς ἀνὰ τὴν
Ἰταλίαν ἐπέτρεχε, καὶ ἐκ τοῦ φόβ
τῶν γεγονότων ἀνελάμβανε· διέδρα
με δὲ καὶ ἐς Τάραντα, καὶ τὸ ναυτ
κὸν εἶδε τὸ ὑπὸ Ταύρῳ, καὶ ἐς Ἱπ
πώνειον ἦλθε, καὶ τὰ πεζὰ παρηγ
ρησε, καὶ τὴν τῶν νεῶν ἐπισκευὴν ἐπ
έσπερχε, καὶ πλησίον ἦν ἤδη καὶ ὁ δεύ
τερον ἐς Σικελίαν ἐπίπλους.

Ὁ δὲ Πομπήιος οὐδ᾽ ἐπὶ τοιαῖ
εὐκαιρίᾳ τοσῇσδε ναυαγίοις ἐπιχει
ρεῖν ἠξίου, ἀλλ᾽ ἔθυε μόνον θαλάσ
σῃ καὶ Ποσειδῶνι, καὶ υἱὸς αὐτῶν ὑφί
στατο καλεῖσθαι, πειθόμενος οὐκ ἄ
νευ θεοῦ δὶς οὕτω θέρους πταῖσαι τοὺ
πολεμίους· φασὶ δ᾽ αὐτὸν ὑπ

adverſis tempeſtatibus. Fertur eum his ſucceſſibus inflatum mu

taſſ

ῶνδε χαυνούμενον, καὶ τὴν συνήθη
οῖς αὐτοκράτορσιν χλαμύδα, ἐκ
οινικῆς ἐς κυανῆν μεταλλάξαι, εἰσ-
ποιούμενον ἄρα τῷ Ποσειδῶνι· ἐλπί-
κας δὲ ἀναζεύξειν τὸν Καίσαρα, ὡς
πύθετο ναυπηγούμενόν τε καὶ ἐπι-
λαλοσσούμενον αὖθις αὐτοῦ θέρους,
ἐπλήσσετο μὲν ὡς ἀμάχῳ γνώμῃ
παρασκευῇ πολεμῶν· Μηνοδώ-
ν δὲ μετὰ νεῶν ἑπτὰ ὧν ἤγαγεν, ἔ-
μεπε κατασκεψόμενον τὰ νεόλκια
Καίσαρος, καὶ δράσοντα ὅτι καὶ
ὐναιτο· ὁ δὲ καὶ τέως ἀχθόμε-
ος, οὐκ ἀποδοθείσης αὐτῷ τῆς ναυ-
χίας, καὶ τότε αἰσθόμενος ὅτι
ὑποψίᾳ μόναις ἠξίωτο ὧν ἤγα-
νεῶν, ἐπεβούλευεν αὖθις αὐτομο-
αν· ἐπινοῶν δὲ πρότερον ὡς ἐς πάν-
ι οἱ συνοῖσον ἀνδραγαθίσασθαι,
ἔδωκε τοῖς συμπλέουσιν ὅσον εἶχε
ρυσίον, καὶ διέπλευσεν εἰρεσίᾳ τρι-
ν ἡμέραις πεντακοσίους ἐπὶ χιλίοις
αδίους, καὶ τοῖς περιφύλαξι τῶν ναυ-
ηγουμένων Καίσαρι νεῶν, οἷα σκη-
τοφανὴς ἐμπίπτων, καὶ ἐς ἀφα-
ς ἀναχωρῶν, ᾕρει καὶ δύο καὶ τρεῖς
ῦς τῶν φυλακίδων, καὶ τὰς ὁλκά-
ς, αἳ τὸν σῖτον ἔφερον, ὁρμούσας
παραπλεούσας κατέδυεν ἢ ἀνεδεῖ-
ν ἢ ἐνεπίμπρη· θορύβου δὲ πάντα
ἦσαν διὰ Μηνοδώρου ὄντα, Καί-
ρος ἀπόντος ἔτι καὶ Ἀγρίππα·
ὁ γὰρ οὗτος ἐπὶ ὕλην ἐπεπόρευτο
ρευόμενος· ὁ δὲ Μηνόδωρος, ἐξώ-
λέ ποτε τὴν ναῦν ἑκὼν ἐς ἕρμα
ς ἁπαλὸν σὺν καταφρονήσει, καὶ
ἐκομίζετο αὐτὴν ὑπὸ τοῦ πηλοῦ κατ-
αι, μέχρι τῶν πολεμίων ἐκ τῆς
ῶν καταθορόντων ὡς ἐπὶ Μηνο-
ρου θήραν ἑτοίμην, ἀνακρουσά-

taſſe paludamentum quoque, cæruleúmque ſumpſiſſe pro puniceo, adoptatum à Neptuno ſcilicet. Quúmque ſperaſſet quieturum Cæſarem, ut audivit inſtaurata claſſe rediturum eadem æſtate in Siciliam, perculſus eſt, quaſi contra inexpugnabilem mentem apparatúmque bellum gereret. Menedorum tamen cum VII quas adduxerat navibus, miſit ſpeculatum ad navalia Cæſaris, effecturum quantum poterit: qui jam antè dolens non redditum ſibi claſſis imperium, tum verò ſentiens propter ſuſpicionem ſolas quas adduxerat naves ſibi creditas, rurſus transfugiendi cepit conſilium: & quia videbat in quemvis eventum utile fore ſi aliquod virtutis ſpecimen ederet, ſociis quicquid auri habebat diſtribuit: eremigatíſque triduo D. ſupra mille ſta- 730
diis, in præſidiarias navium quæ Cæſari fabricabantur, fulminis in morem repentinus irruens, rurſúmque ſe inde proripiens, jam duas, jam tres earum opprimebat: onerarias quoque frumentum vehentes in ſtationibus curſúve mergebat, aut capiebat, aut incendebat: replevitque omnia tumultu per Cæſaris Agrippæque abſentiam: nam hic in ſylvam profectus fuerat ad parandam materiam. illudens etiam hoſtibus, impegit navim contemptim in ſolum mollius, in luto ſe hærere fingens, donec tanquam paratam prædam è monte decurrentibus obverſa puppi cura

Menodorus Cæſarianos eludit.

riſu abiit, Cæſarianis mœrentibus æquè ac ſtupentibus. Ubi verò ſatis oſtendit quantum rebus momentum vel hoſtis afferret vel ſocius, Rebilum ſenatorem captum dimiſit, ad futura parans initium. móxque de Vinidio Marcello, Cæſaris familiari, cujus amicitiam in priore transfugio ſibi quæſierat, ſparſit rumorem apud ſuos, proditionem eum moliri & transfugium. Ipſe ad hoſtes appellens propius, poſtulavit cum Vinidio in parva quadam inſula ſibi permitti colloquium de rebus utrique parti conferentibus: quo impetrato ſemotis arbitris ait ſe prius ad Pompeium refugiſſe coactum injuriis illatis ſibi à Calviſio claſſis præfecto: nunc præfectura in Agrippam tranſlata, rediturum ad Cæſarem non malè de ſe meritum, modò Vinidius fidem ſibi afferret à Meſſala, Agrippæ abſentis vicario. promiſitque ſe reſarturum peccatum ſuum egregiis facinoribus: ſed antequam fidem accipiat, infeſtaturum Cæſarianos ut antea, ob cavendam ſuſpicionem. digreſſus deinde infeſtus fuit more ſolito. Meſſala dubitavit aliquantiſper ut de re parum honeſta: tandem conceſſit, ſive has belli neceſſitates exiſtimans, ſive de Cæſaris mente præmonitus, conjecturámve faciens. Menodorus rurſum transfugit, accidénſque ad genua Cæſaris, petiit veniam priuſquam fugæ cauſam indicaret: qui propter fœdus incolumitate ei donavit, adhibitis qui clam obſervarent hominem: triremiu

Rebilus ſenator captivus dimiſſus à Menodoro.

Vinidius Marcellus.

Menodorus denuo transfugit ad Cæſarem.

731

νος ᾤχετο σὺν γέλωτι, καὶ τὸν στρ
τὸν τοῦ Καίσαρος ἀνία κατεῖχε σ
θαύματι. ὡς δὲ ἱκανῶς ἐπιδέδεικ
οἷος ἐχθρός τε καὶ φίλος εἴη, Ρ
βιλλον μὲν ἑλὼν ἄνδρα ἀπὸ βουλῆ
μεθῆκε, μνώμενος ἤδη τὰ μέλλ
Μινδίῳ δὲ Μαρκέλλῳ τῶν ἑταίρων τ
τοῦ Καίσαρος, φίλος ἐν τῇ προ
τέρᾳ γεγονὼς αὐτομολίᾳ, τοῖς μ
ἀμφ' αὐτὸν ἔφη, τὸν Μίνδιον βο
λεύειν αὐτομολίαν καὶ προδοσία
τοῖς δὲ πολεμίοις προσπλεύσας,
ξίου Μίνδιον αὐτῷ συνελθεῖν ἐς τ
να νησίδα ἐπὶ λόγοις συνοίσουσι·
συνελθόντι ἔλεγεν, οὐδενὸς ἀκού
τος ἑτέρου, φυγεῖν μὲν ἐς Πο
πήϊον, ὑβριζόμενος ὑπὸ τοῦ τ
ναυάρχου Καλουισίου, τὴν δὲ να
αρχίαν Ἀγρίππου μεταλαβόντος
ἐπανελεύσεσθαι πρὸς Καίσαρα οὐδ
ἀδικοῦντα, εἰ πίστιν αὐτῷ κομία
ὁ Μίνδιος παρὰ Μεσσάλα,
τὴν ἀποδημίαν Ἀγρίππα διοικ
τος· ἔφη δὲ παρελθὼν μὲν ἰάσασθ
λαμπροῖς τὸ ἁμάρτημα ἔργοι
μέχρι δὲ τῶν πίστεων λυμανεῖσθ
τινα τῶν Καίσαρος ὁμοίως ἐς τὸ ἀ
ὕποπτον, καὶ ὁ μὲν αὖθις ἐλυμα
νετο· Μεσσάλας δ' ἐνεδοίαζε μὲν
ἐπὶ αἰσχρῷ, ἐνέδωκε δ' ὅμως,
τε πολέμου ταῦτ' εἶναι νομίζων
νάγκας, εἴτε καὶ τῆς Καίσαρος γν
μης τι προμαθών, ἢ τεκμηράμεν
καὶ Μηνόδωρος μὲν αὖθις ηὐτομόλ
καὶ τοῦ Καίσαρος ἐλθόντος προσπίπτ
ἠξίου συγγνῶναι μὴ λέγοντι τὰς
τίας τῆς φυγῆς· ὁ δὲ ἐς μὲν σωτηρί
αὐτῷ συνεγίνωσκε διὰ τὰς σπον
δάς, καὶ ἀφανῶς ἐφυλάσσετο, τ

τριηράρχους αὐτοῦ μεθῆκε χωρεῖν ὅποι θέλοιεν.

Ἑτοίμου δὲ τοῦ στόλου γενομένου, αὖθις ὁ Καῖσαρ ἀνήγετο, καὶ ἐς Ἱππώνειον περιπλεύσας, δύο τέλη τῶν πεζῶν Μεσσάλαν ἔχοντα περᾶν ἐκέλευσεν ἐς Σικελίαν ἐπὶ τὸ Λεπίδου στρατόπεδον, καὶ σταθμεύειν ἐς τὸ λοιπὸν διελθόντα τὸν εὐθὺ Ταυρομενίου, τρία δ᾽ ἔπεμπεν ἐπὶ Στυλίδα καὶ πορθμοῦ ἄκρον, ἐφεδρεύειν ἐς ἐσομένοις. Ταῦρον δ᾽ ἐς τὸ Σκυλάκιον ὄρος ὃ πέραν ἐστὶ Ταυρομενίου, περιπλεῖν ἐκ Τάραντος ἐκέλευσε, καὶ ὁ μὲν περιέπλει διεσκευασμένος ἐς μάχην ὁμοῦ καὶ εἰρεσίαν, καὶ τὰ πεζὰ αὐτῷ παραφόρτει προερευνώντων, τήν τε γῆν ἱππέων, καὶ λιβυρνίδων τὴν θάλασσαν. καὶ ὁ Καῖσαρ ὧδε ἔχοντι, ἐξ Ἱππωνείου ἐπιδραμών, ἐπιφαίνεται περὶ τὸ Σκυλάκιον, καὶ τὴν εὐταξίαν ἀποδεξάμενος, ἐπανῆλθεν ἐς τὸ Ἱππώνειον. ὁ δὲ Πομπήιος ὡς μοι προείρηται, τάς τε ἐς τὴν νῆσον ἀποβάσεις ἐφύλασσεν ἁπάσας, καὶ τὰς ναῦς ἐν Μεσσήνῃ συνεῖχεν, ὡς βοηθήσων ποι δεήσοι. καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν.

Λεπίδῳ δ᾽ αὖθις ἐκ Λιβύης ἦγον αἱ ὁλκάδες τὰ λοιπὰ τοῦ στρατοῦ τέλη τέσσαρα, καὶ αὐταῖς ἀπαντῶντα πελάγιος ἐκ Πομπηίου Παπίας, καὶ διέφθειρεν ὡς φιλίους δεχομένας. ᾤοντο γὰρ σφίσι τὰς Λεπίδου συναντᾶν, αἱ δὲ βραδέως τε ὑπὸ τοῦ Λεπίδου καθειλκοντο, καὶ ὕστερον αὐταῖς προσιούσας, αἱ ὁλκάδες ὡς καὶ τάσδε ἄλλας πολεμίας ἐξέκλιναν, ἕως αἱ μὲν ἐκαύθησαν, αἱ δ᾽ ἐλήφθησαν, αἱ δ᾽

verò ejus præfectos quocunque vellent abire permiſit.

Parata deinde claſſe Cæſar ſolvit iterum: appulſuſque Vibonem, Meſſalam cum duabus legionibus trajicere in Siciliam juſſit, & cum Lepidi exercitu ſe conjungere, tranſiréque in ſinum qui eſt verſus Tauromiπium: tres verò alias miſit ad Stylida in extremum fretum, occaſionem expectaturas. Taurum etiam ad montem Scylacium, qui eſt ex adverſo Taurominii, è Tarento circumnavigare juſſit: quod ille fecit, paratus tum ad remigationem tum ad prælium, proſequentibus terreſtribus copiis, præexplorantibus terram equitibus, mare liburnicis. Ad eum ſic iter facientem Cæſar è Vibone accurrit: conſpectuſque circa Scylacium, ordine approbato, Vibonem rediit. At Pompeus, ut diximus, diſpoſitis circa loca ad exſcendendum in inſulam opportuna præſidiis, claſſem Meſſanæ continebat, ſuccurſurus quocunque opus foret.

Dum ea utrinque parantur, Lepido rurſum ex Africa reliquæ quatuor legiones tranſportabantur onerariis, quibus in alto factus obviam Pompeianus dux Papia, & tanquam amicus expectatus, eas oppreſſit: putabant enim à Lepido miſſas ſibi occurrere, qui tardius ſuas deduxerat: quas deinde venire viſas declinarunt onerariæ quòd hoſtiles has quoque crederent: donec aliæ captæ, aliæ crema- Papia, Pompeianus dux.

tæ ſubmerſæve, quædam in Africam reverſæ ſunt. Ex legionibus duæ perierunt in mari, & ſiqui militum enatarunt, eos

Tiſienus. Tiſienus Pompeii dux terram prenſantes confecit, reliquus exercitus ad Lepidum perlatus eſt, vel tunc, vel poſtea: Papia navigavit ad Pompeium.

Strongyle inſula. Cæſar in Strongylen, unam è quinque inſulis Æoliis, è Vibone cum tota claſſe trajecit, præmiſſis exploratoriis liburnicis: quumque in fronte Sici-

732 liæ multas videret copias circa Pelorum & Mylis & Tyndaride, conjectavit ipſum adeſſe Pompeium: relictóque ibi Agrippa vicario, ipſe Vibonem reverſus, mox inde in caſtra Tauri tranſcurrit cum Meſſala & tribus legionibus, cogitans Tauromínium occupare per Pompeii abſentiam, & ipſum à duobus lateribus aggredi. Agrippa igitur à Strongyle in Hieram trajecit, eámque cepit, pulſis præſidiariis, ſequenti die Mylas tentaturus & Democharem præfectum quadraginta navium. Pompeius ſuſpectos habens Agrippæ conatus, alias quadragintaquinque naves à Meſſana miſit Demochari, duce liberto Apollophane, quem ipſe cum aliis ſeptuaginta ſecutus eſt. Agrippa ante lucem ex Hiera ſolvit cum dimidia parte navium, quaſi pugnaturus cum ſolo Papia: ubi verò & Apollophanis claſſem vidit, & illam aliam ſeptuaginta navium, conti-

ἀνετράπησαν, αἱ δ' ἐς Λιβύην ὑπέπλευσαν. τοῦ δὲ στρατοῦ δύο μὲν τέλη διώλετο ἐν τῇ θαλάσσῃ· καὶ εἴ τις αὐτῶν ἐξενήξατο, καὶ τούσδε Τισιηνὸς ὁ τοῦ Πομπηΐου στρατηγὸς ἐπινέοντας ἐπὶ τὴν γῆν διέφθειρεν· οἱ δὲ λοιποὶ πρὸς Λέπιδον κατήχθησαν, οἱ μὲν αὐτίκα, οἱ δ' ὕστερον, καὶ Παπίας ἀπέπλευσε πρὸς Πομπήϊον. ὁ δὲ Καῖσαρ ἐς Στρογγύλην, ἣ τῶν πέντε νήσων ἐστὶ τῶν Αἰόλου, παντὶ τῷ στόλῳ διέπλευσεν ἐξ Ἱππωνείου προερευνωμένης αὐτῷ τῆς θαλάσσης· στρατὸν δὲ ἐπὶ μετώπου τῆς Σικελίας πολὺν ἰδών, ἔν τε Πελωριάδι καὶ Μυλαῖς καὶ Τυνδαρίδι, εἴκαζεν αὐτὸν παρεῖναι Πομπήϊον· καὶ τὰ μὲν ἐνθάδε Ἀγρίππᾳ διαστρατηγεῖν ἐπέτρεψεν, αὐτὸς δὲ ἐς τὸ Ἱππώνειον αὖθις ἐπέπλει, καὶ ἐς τὸ Ταύρου στρατόπεδον ἐξ Ἱππωνείου σὺν τρισὶ τέλεσι μετὰ Μεσσάλα διετρόχαζεν, ὡς Ταυρομένιον αἱρήσων, ἀπόντος ἔτι τοῦ Πομπηΐου, καὶ τὰς ἐμβολὰς αὐτῷ διχόθεν παρέξων. Ἀγρίππας μὲν οὖν ἀπὸ Στρογγύλης εἰς Ἱερὰν διέπλει, καὶ τῶν Πομπηΐου φρουρῶν αὐτὸν οὐχ ὑποστάντων, εἷλε τὴν Ἱεράν, καὶ τῆς ἐπιούσης ἔμελλεν ἐπιχειρήσειν ἐς Μύλας Δημοχάρει τῷ Πομπηΐου τεσσαράκοντα ναῦς ἔχοντι· ὁ Πομπήϊος τὸ βίαιον ὑφορώμενος Ἀγρίππου, ἔπεμπε τῷ Δημοχάρει ναῦς ἄλλας πέντε καὶ τεσσαράκοντα ἀπὸ Μεσσήνης ἐξελθούσας ἄγοντι Ἀπολλοφάνει, καὶ αὐτὸς ἐφείπετο ἄλλαις ἑβδομήκοντα. Ἀγρίππας δ' ἔτι νυκτὸς ἐξ Ἱερᾶς ἀνήγετο ταῖς ἡμισέσι τῶν νεῶν, ὡς Παπίᾳ μόνῳ ναυμαχήσων· ἐπεὶ δὲ καὶ τὰς Ἀπολλοφάνους εἶδε, καὶ τὰς ἑβδομήκοντα ἑτέρωθι

Καῖσαρ

ίσαρι μὲν αὐτίκα ἐδήλου Πομ-
ήιον ἐπὶ τῶν Μυλῶν εἶναι σὺν τῷ
λέονι ναυτικῷ, τὰς δὲ βαρείας αὐ-
ς ἦγε κατὰ μέσον, καὶ τὸν ἄλλον στό-
ν ἐξ Ἱερᾶς ἐκάλει κατὰ σπουδήν.
κεύαστο δ' ἀμφοτέροις πάντα λαμ-
πρῶς, καὶ πύργους ἐπὶ τῶν νεῶν εἶχον
τά τε πρῷραν καὶ κατὰ πρύμναν·
δὲ αὐτοῖς αἵ τε παρακελεύσεις
ως εἰκὸς ἦν ἐγεγένηντο, καὶ τὰ ση-
εῖα κατὰ ναῦς ἦρτο, ἐξῄρεσσον ἐπ'
ἀλλήλους οἱ μὲν κατὰ μέτωπον, οἱ δ'
περικυκλοῦσιν σύν τε βοῇ καὶ ῥο-
ῳ νεῶν καὶ καταπλήξει ποικίλῃ. ἦν
καὶ τὰ σκάφη Πομπηΐῳ μὲν βρα-
ύτερα καὶ κοῦφα καὶ ὀξέα ἐς τὰς
ορμήσεις τε καὶ περίπλους· Καίσα-
: δὲ μείζω καὶ βαρύτερα, καὶ παρ'
υτὸ καὶ βραδύτερα, βιαιότερα δὲ
ως ἐμπεσεῖν, καὶ τρωθῆναι δυσ-
παθέστερα· τῶν τε ἀνδρῶν οἱ μὲν ναυ-
κώτεροι τοῦ Καίσαρος ἦσαν, οἱ δὲ
καρτερώτεροι κατὰ λόγον· οἱ μὲν οὐκ
ἐμβολαῖς, ἀλλὰ ῥᾳδίαις περιόδοις
πλεονέκτουν, καὶ ταρσοὺς τῶν μει-
νων ἢ πηδάλια ἀνέκλων, ἢ κώ-
πας ἀνέκοπτον, ἢ ἀπεχώρουν ὅλως
ἰ σκάφη, καὶ ἔβλαπτον ἐμβολῆς
ς ἧσσονα· οἱ δὲ τοῦ Καίσαρος αὐ-
ταῖς ἐμβολαῖς ὡς βραχυτέρας ἀνέ-
ιπτον, ἢ κατέσειον ἢ διέρρηγνυον,
τε συμπλακεῖν, ἔβαλλόν τε ὡς τα-
πεινοτέρας ἀφ' ὑψηλοῦ, καὶ κόρα-
κας ἢ χεῖρας σιδηρᾶς εὐκολώτερον
ἐπερρίπτουν· οἱ δὲ ὅτε βιασθεῖεν ἐξήλ-
λοντο ἐς τὸ πέλαγος, καὶ τούσδε μὲν τὰ
ὑπηρετικὰ τοῦ Πομπηΐου περιπλέοντα
ἀνελάμβανεν. ὁ δὲ Ἀγρίππας ἵετο
μάλιστα εὐθὺ τοῦ Παπίου, καὶ αὐτῷ

nuò ſignificavit Cæſari Pompeium cum majore claſſis parte eſſe ad Mylas, ipſe cum gravibus navibus medium agmen tenuit, reliquis juſſis ex Hiera celeriter ſubſequi. Erat autem utrinque apparatus magnificus impoſitis à prora puppíque turribus. Ut verò poſt ſolennem cohortationem ſignum per ſingulas naves elatum eſt, utrinque in ſe fecerunt impetum, in frontem alteri', alteri per ambages ad terrorem circumventis incutiendum magno navium virorúmque ſtrepitu: erant enim naves Pompeio mediocres, leves, & ad incurſandum circumveniendúmque hoſtem agiles: Cæſari verò majores graviorésque, & ob id ipſum tardiores: ſed ad ictus tum inferendos validiores, tum ſuſtinendos firmiores. milites verò hinc robore præſtabant, illinc rei navalis peritia. Hi non concurrendo, ſed circumcurſando ſuperabant, jam remos majorum navium detergendo, jam diffringendo gubernacula: interdum etiam magna vi in eas reverſæ roſtris ictus regerebant non leviores quàm acciperent. Contrà Cæſarianæ roſtris ut minores facilè repercutiebant, aut quaſſabant, aut perforabant, & quoties colluctarentur cominus, miſſilibus è ſuperiore loco obruebant, injectíſque corvis aut ferreis manibus

Navale Cæſaris & Pompeii prælium.

733

etinebant eas facilius: tum adverſarii non ferentes impetum, pelagus exiliebant, & à ſcaphis Pompeianorum ad id diſurſantibus recolligebantur. Agrippa navim Papiæ petebat ma-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

ximè, ictámque ſub prora & concuſſam perfregit uſque carinam: qui in ejus turribus ad propugnandum conſtiterant, excuſſi ſunt: mare in navem admiſſum, obruit remigum ordinem infimum: reliqui perfracta contabulatione, natatu evaſerunt: Papia receptus in navem proximam, rurſus in prælium rediit. Tum Pompeius è monte conſpicatus ſuas parum proficere, & quoties cominus res gereretur, ſocios navales amittere, Agrippæ verò triarias ex Hiera ſuccurrere, ſignum ſuis dedit ut ſervatis ordinibus ſe reciperent: id quod fecerunt, pugnandóque paulatim ſeſe ſubduxerunt è prælio: Agrippa verò urgente refugerunt, non in aſpera littora, ſed qua limo fluviis illato molliuntur. Ille à gubernatoribus vetitus ne magnas naves locis vadoſis committeret, in alto jactis ancoris conſtitit, quaſi hoſtem, ſi opus ſit, invaſurus nocturno prælio: monentibus autem amicis ne iram magis quàm rationem ſequeretur, néve militem nimis divexaret vigiliis ac laboribus, néve maris tranquillitati multùm crederet, vix ſerò ſe retro recepit. Pompeiani portus ſuos petierunt amiſſis triginta navibus, ſubmerſis quinque hoſtilibus, aliíſque multis acceptis pariter ac illatis incommodis: quos Pompeius laudans quòd tam magnis reſtitiſſent navibus, ait ſibi hanc non tam navalem pugnam viſam quàm oppugnationem mœnium: nec aliter quàm victores do-

Pompeii clades navalis.

Pompeius victos præ-

κατὰ τὴν ἐπωτίδα ἐμπεσὼν, κατέ-
σε τὴν ναῦν, καὶ ἐς τὰ κοῖλα ἀν-
ῥήξεν, ἡ δὲ τοὺς τε ἐν τοῖς πύργ
ἀπεσείσατο, καὶ τὴν θάλασσαν
θρόως ἐδέχετο, καὶ τῶν ἐρετῶν οἱ
θαλαμῖται πάντες ἀπελήφθησαν,
δ᾽ ἕτεροι τὸ κατάστρωμα ἀναῤῥήξα-
τες, ἐξενήχοντο, Παπίας δὲ ἐς
παρορμοῦσαν ἀναληφθεὶς, αὖ
ἐπῄει τοῖς πολεμίοις. καὶ ὁ Πομπη
ἐξ ὄρους ἀφορῶν τὰς μὲν ἰδίας
κρὰ ἐπωφελούσας, καὶ ψιλουμέν
τῶν ἐπιβατῶν ὅτε συμπλακεῖεν, Α
γρίππα δὲ τὸ ἱερὸν στόλον ἐξ Ἱερ
προσπλέοντα, ἀναχωρεῖν ἐσήμαινε σ
κόσμῳ, καὶ ἀνεχώρουν ἐπιόντες τε
ἀναστρέφοντες αἰεὶ κατ᾽ ὀλίγον. Α
γρίππα δ᾽ ἐπιβαρήσαντος αὐτ
ἔφυγον, οὐκ ἐς τοὺς αἰγιαλοὺς, ἀλ
ὅσα τῆς θαλάσσης οἱ ποταμοὶ τεν
γώδη πεποιήκεσαν, καὶ Ἀγρίππας
κωλυόντων αὐτὸν τῶν κυβερνητῶν μ
γάλαις ναυσὶν ἐς ὀλίγον ὕδωρ ἐπ
πλεῖν, πελάγιος ἐπ᾽ ἀγκυρῶν
σάλευεν ὡς ἐφορμιούμενος τοῖς π
λεμίοις, καὶ νυκτομαχήσων εἰ δέο
τῶν φίλων δ᾽ αὐτῷ παραινούντ
μὴ ἀλόγῳ θυμῷ συνεκφέρεσθαι
μηδὲ τὸν στρατὸν ἐκτρύχειν ἀγρ
πνίᾳ καὶ πόνῳ, μηδὲ πιστεύειν πολ
ἀχειμάνῳ θαλάσσῃ, μόλις ἑσπέρ
ἀνεζεύγνυε. καὶ οἱ Πομπηϊανοὶ ἐς τὰ
λιμένας παρέπλεον, τριάκοντα
τῶν σφετέρων νεῶν ἀποβαλόντες, πέ
τε δὲ καταδύσαντες τῶν πολεμίων,
βλάψαντες ἄλλα ἱκανὰ, καὶ βλα
βέντες ὅμοια. καὶ αὐτοὺς ὁ Πομ
πήϊος ἐπαινῶν ὅτι τηλικαύταις ναυ
σὶν ἀντέσχον, τειχομαχῆσαι μᾶλ
λον ἔφασκεν ἢ ναυμαχῆσαι, καὶ ὡς

κηκότας ἐδωρεῖτο, καὶ ἐπήλπιζεν τοῦ πορθμοῦ διὰ τὸν ῥοῦν κουφο- γὺς ὄντας περιέσεσθαι, καὶ αὐτὸς ἤ τι προσθήσειν ἐς τὸ τῶν νεῶν ὕψος. τοῦτο μὲν δὴ τῆς ναυμαχίας λος ἦν τῆς περὶ Μύλας Ἀγρίπ- ε καὶ Παπίᾳ γενομένης.

Τὸν δὲ Καίσαρα ὁ Πομπήιος περ ἦν ὑπολαβὼν ἐς τὸ Ταύρου ατόπεδον οἴχεσθαι, καὶ ἐπιχειρήσειν Ταυρομενίῳ, μετὰ δεῖπνον εὐθὺς Μεσσήνην περιέπλει, μέρος ἐν ταῖς Μύλαις ὑπολιπών, ἵνα αὐτὸν Ἀγρίππας ἔτι παρεῖναι νομίζοι. γρίππας μὲν δὴ διαναπαύσας τὸν ατὸν ἐς ὅσον ἤπειγεν, ἐς Τυνδαρίδα ἐνδιδομένην ἔπλει, καὶ παρῆλθεν μὲν εἴσω, μαχομένων δὲ λαμπρῶς τῶν φρουρῶν, ἐξεώσθη. προσεχώρησαν δὲ ἕτεραι πόλεις αὐτῷ, φρουρὰς ἐδέξαντο, καὶ αὐτὸς ἐπῆλθεν ἐς ἑσπέραν. ὁ δὲ Καῖσαρ ἤδη μὲν ἐς Λευκόπετραν ἐκ τοῦ Σκυλακίου διεπεπλεύκει, μαθὼν ἔτι κελεύσεσθαι ὅτι ὁ Πομπήιος ἐκ Μεσσήνης ἐς Μύλας οἴχοιτο δι' Ἀγρίππαν· ἐκ δὲ Λευκοπέτρας ἔμελλε νυκτὸς περᾶν ὑπὲρ τὸν πορθμὸν ἐς τὸ Ταυρομένιον· πυθόμενος δὲ περὶ τῆς ναυμαχίας, μετέγνω μὴ κλέπτειν ἔτι τὸν διάπλουν νενικηκώς, ἀλλὰ κατὰ φῶς θαρροῦντι τῷ στρατῷ περαιοῦσθαι· καὶ γὰρ ἔτι πάντως ἡγεῖτο Πομπήιον Ἀγρίππᾳ παραμένειν. κατασκεψάμενος γοῦν ἡμέρας τὸ πέλαγος ἐκ τῶν ὀρῶν, ἐπεὶ καθαρὸν ἔγνω πολεμίων, ἔπλει στρατὸν ἔχων ὅσον αἱ νῆες ἐδέχοντο, Μεσσάλαν ἐπὶ τοῦ λοιποῦ καταλιπών, ἕως ἐπ' αὐτὸν αἱ νῆες ἐπέλθοιεν· ἐλθὼν δὲ ἐπὶ τὸ Ταυρομέ-

donavit, ſpem faciens, in freto miis donat.
propter fluxum claſſem ſuam ut leviorem ita ſuperiorem fore: promittenſque additurum ſe aliquantum ad ſuarum navium altitudinem. Hic eventus fuit navalis circa Mylas pugnæ inter A- 734
grippam & Papiam.

At Pompeius ratus id quod erat, Cæſarem in Tauri caſtra profectum ut tentaret Taurominium, mox à cœna Meſſanam circumvectus eſt, Mylis relicta parte navium, ut Agrippa ipſum ibi eſſe putaret. qui milite refecto pro tempore, navigavit Tyndaridem, dedentem ſe: ubi receptus ab oppidanis, rurſum à præſidiariis egregiè repugnantibus ejectus eſt. aliæ quoque civitates ad eum deficientes acceperunt præſidia, ipſe veſpere ad claſſem rediit. Interea Cæſar è Scylacio ad Leucopetram devectus fuerat, certior factus Pompeium Meſſana Mylas profectum propter Agrippam: quúmque ſtatuiſſet è Leucopetra noctu trajicere Taurominium, poſtquam audivit de navali prælio, mutavit ſententiam, honeſtius victori exiſtimans non clàm ſed clara luce navigare cum fiducia: credebat enim Pompeium prope Agrippam haudquaquam manſurum. Quúmque exorta die proſpexiſſet in altum è montibus, nuſquam apparente hoſte navigabat impoſito quantum claſſis capiebat milite, reliquis Meſſalæ commiſſis, donec ad eum naves redirent: Taurominium verò delatus

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 2

delatus, præmiſit qui deditionem poſcerent: & quum præſidiarii ſe non admitterent, prætern avigato flumine Onobala & fano Veneris, ad Archegetam appulit precatus deum, poſitis ibi caſtris oppugnaturus Taurominium. Eſt autem Archegeta Apollinis parva ſtatua, quam primam dedicarunt Naxii coloni miſſi in Siciliam. Hic è navi excendens prolapſus eſt: móxque ſurrexit & caſtra metabatur, quum Pompeius magna claſſe ſupervenit, omnibus mirantibus: credebatur enim devictus ab Agrippa: per oram etiam equitatus irruebat, celeritate contendens cum navibus: & diverſa parte pedeſtres copiæ conſpectæ ſunt. Itaque omnes ſunt exterriti, circumventi à tribus exercitibus: timuit & Cæſar, quod non poſſet Meſſalam accerſere. equites igitur primi Cæſarianos in caſtris muniendis adhuc occupatos turbarunt. Quod ſi claſſiarii peditéſque pariter feciſſent impetum, fortaſſis egregia Pompeio contigiſſet victoria: nunc per imperitiam rei militaris, & hoſtium trepidationis ignorantiam, veriti ſub veſperam inire prælium, alteri ad Coccynum promontorium in ſtationem ſeceſſerunt: pedites verò nolentes prope hoſtem caſtra metari, in oppidum Phœnicem ſe receperunt. Nocte ſequenti hi quieverunt, Cæſariani vallum quidem abſolverunt, ſed propter laborem & vigiliam ad pugnandum inutiliores redditi. Erant autem

Onobala flumen.

Archegeta Apollinis ſtatua.

Cæſar à tribus exercitibus circumventus.

735

Coccynum promontorium.

νειον, προσέπεμψε μὲν ὡς ὁ ὑπο-
ξόμενος αὐτό, οὐ δεξαμένων δὲ τῶν
φρουρῶν, παρέπλει τὸν ποταμὸν
Ὀνοβάλαν, καὶ τὸ ἱερὸν τῆς Ἀφρο-
σίου, καὶ ὡρμίσατο ἐς τὸν Ἀρχη-
την, ἀξιῶν τὸν θεόν, ὡς χαρι-
θησόμενος ἐνταῦθα, καὶ ἀποπει-
σῶν τοῦ Ταυρομενίου· ὁ δὲ Ἀρχη-
της Ἀπόλλωνος ἀγαλμάτιόν ἐστιν
πρῶτον ἐστήσαντο Ναξίων οἱ ἐς Σι-
κελίαν ἀπῳκισμένοι. ἐνταῦθα
νεὼς ἐκβαίνων ὁ Καῖσαρ, ὀλισθ-
ἔπεσε, καὶ ἀνέδραμε δι' αὐτοῦ,
αὐτῷ καθισταμένῳ ἐπὶ τὸ στρατόπε
Πομπήιος ἐπέπλει στόλῳ πολ
θαύματι ἀδόκητον (ᾤετο γὰρ αὐτὸν ἐκ-
πεπολεμῆσθαι πρὸς Ἀγρίππαν) πα
ἤλαυνε δὲ τῷ Πομπηίῳ καὶ ἱππο
ἐς τάχος διερίζουσα τῷ ναυτικῷ,
τὰ πεζὰ ἑτέρωθεν ἐφαίνετο· ὡς
δεῖσαι μὲν ἅπαντας ἐν μέσῳ τρι
στρατιῶν πολεμίων γενομένους, δεῖσ
δὲ τὸν Καίσαρα Μεσσάλαν οὐκ
ἔχοντα μεταπέμψασθαι. οἱ μὲν οὖν ἱπ
πεῖς εὐθὺς ἠνώχλουν οἱ Πομπηί
χαρακοποιουμένους ἔτι τοὺς τοῦ Και
σαρος· εἰ δὲ ἐπὶ τοῖς ἱππεῦσιν
πεζοὶ καὶ τὸ ναυτικὸν ἐφώρμησε, τα
χα ἄν τι μεῖζον ἐξήνυσε τῷ Πομ
πηίῳ· νῦν δὲ ἀπείρως τε πολέμου,
ὑπ' ἀγνοίας τοῦ θορύβου τοῦ Καίσα
ρος, καὶ ὄκνου μὴ μάχης ἐπὶ δει
λην ἑσπέραν ἄρξαι, οἱ μὲν αὐτῶν ἐ
Κόκκυνον ἄκραν ὡρμίσαντο, οἱ πε
ζοὶ δ' οὐκ ἀξιοῦντες ἀγχοῦ τῶν πο
λεμίων στρατοπεδεύειν, ἐς Φοίνικ
πόλιν ἀνεχώρησαν, καὶ νυκτὸς οἱ μὲ
ἀνεπαύοντο, οἱ δὲ τοῦ Καίσαρος τ
μὲν χάρακα ἐτέλουν, ὑπὸ δὲ κόπου
καὶ ἀγρυπνίας ἐς τὴν μάχην ἐβλά
πτοντο· τέλη δ' ἦν αὐτῷ τρία, κ

ἱππέων

ἱππεῖς χωρὶς ἵππων πεντακόσιοι, καὶ ξιφοι χίλιοι, καὶ κληροῦχοι σύμμαχοι χωρὶς καταλόγου δισχίλιοι, ἡ ναυτικὴ δύναμις ἐπὶ τούτοις. τὰ μὲν πεζὰ πάντα Κορνιφικίῳ παραδοὺς ὁ Καῖσαρ, ἐκέλευσε τοὺς μὲν πολεμίους ἀπομάχεσθαι καὶ πράσσειν ὅ, τι ἐπείγοι· αὐτὸς δὲ ταῖς ναυσὶν ἔτι πρὸ ἡμέρας ἀνήγετο ἐς τὸ πέλαγος, μὴ καὶ τῆδε αὐτὸν ἀποκλείσειεν οἱ πολέμιοι, καὶ τὸ μὲν δεξιὸν ἐπέτρεπε Τιτινίῳ, τὸ δὲ λαιὸν Καρκινίῳ, λιβυρνίδος δὲ αὐτὸς ἐπέβαινε, καὶ περιέπλει πάντας παρακαλῶν· ἐν δὲ τῇ παρακλήσει τὰ στρατηγικὰ σημεῖα, ὡς ἐν κινδύνῳ μάλιστα ὤν, ἀπέθετο. ἐπαναχθέντος δὲ τοῦ Πομπηίου, δὶς μὲν ἐπεχείρησαν ἀλλήλοις, καὶ τὸ ἔργον ἐς νύκτα ἐτελεύτησεν· ἁλισκομένων δὲ καὶ πιμπραμένων τῶν Καίσαρος νεῶν, αἱ μὲν ἐπαράμεναι τὰ βραχέα τῶν ἱστίων, ἀπέπλεον ἐς τὴν Ἰταλίαν, τῶν παραγγελμάτων καταφρονοῦσαι, καὶ αὐτὰς ἐπ' ὀλίγον οἱ τοῦ Πομπηίου διώξαντες, ἐπὶ τὰς ὑπολοίπους ἀνέστρεψαν, καὶ τῶνδε τὰς μὲν ᾕρουν ὁμοίως, τὰς δὲ ἐνεπίμπρασαν· ὅσοι δ' ἐξ αὐτῶν ἐς τὴν γῆν ἐξενήχοντο, τοὺς μὲν οἱ ἱππέες οἱ τοῦ Πομπηίου διέφθειρον ἢ συνελάμβανον· οἱ δ' ἐς τὸ τοῦ Κορνιφικίου στρατόπεδον ἀνεπήδων, καὶ τούτοις ὁ Κορνιφίκιος ἐπιθέουσιν ἐπεχείρει, τοὺς κούφους ἐκπέμπων μόνους· οὐ γὰρ εὔκαιρον ἐδόκει κινεῖν τὰ τέλη ἀθυμοῦντα, ἀντικαθημένων πεζῶν, μεγαλοφρονουμένων ὡς εἰκὸς ἐπὶ νίκῃ. Καίσαρα δ' ἐν τοῖς ὑπηρετικοῖς ἐς πολὺ τῆς νυκτὸς ἀνακωχεύοντα καὶ βουλευόμενον, εἴτε ἐς Κορνιφίκιον ἐπανέλθοι διὰ μέσων τοσῶνδε ναυαγίων, εἴτε ἐς Μεσσάλαν διαφύγοι, θεὸς ἐς τὸν Ἄβαλαν λιμένα περιήνεγκε

legiones tres, equites ſine equis quingenti, velites mille, coloni auxiliares voluntarii M M. prætérque navales ſocii. Tradito igitur peditatu Cornificio, ut in terra quantum poſſet repugnaret hoſtibus, ipſe ante lucem in altum provectus eſt, ne & à mari intercluderetur: dextro cornu præfecit Titinium, ſiniſtro Carcium: ipſe liburnica circum claſſem volitans omnibus hortator aderat: quo facto inſignia ut in maximo conſtitutus periculo depoſuit. Occurrente autem ex adverſo Pompeio bis congreſſi certamen in noctem extraxerunt. Quúmque naves Cæſarianæ caperentur & incenderentur, pars earum expanſis minoribus velis aufugit in Italiam contemptis hortatibus: quas aliquot Pompeianis perſequentibus, & reliquæ profligatæ partim captæ, partim incenſæ ſunt. qui in terram enatabant, ab equitibus Pompeianis interimebantur aut capiebantur: quidam in Cornificii caſtra ſe proripiebant: quos ille accurrentes excipiebat ſolis obviam miſſis velitibus: intempeſtivum enim putabat promovere legiones malè animatas, propinquo exercitu terreſtri hoſtium inſoleſcentium (ut fieri ſolet) victoria. Cæſar in actuariis ad multam noctem jactatus, 736
incertus Cornificiúmne per media naufragia peteret, an ad Meſſalam refugeret, forte fortuna ad Abalam portum appulit cum

Cæſar ſolus cum unico armigero a-

unico

micis deſtitutus & ſervis, ad Abalum portum appellit.

